Quamquam auctores, quos citavi, locupletissimi, ut opinor, testes sunt plurima vera esse, quae narrantur in historia arcana, neque dubium est, quin hic libellus sit praecipuus fons habendus eis, qui quomodo Iustinianus et Theodora rem publicam administraverint, explicare volunt, tamen magnopere reprehendendum Procopium iam recte exposuit F. Dahn p. 387 s., quod res ita narraret, ut eas ante Iustinianum optimas fuisse suspiceris, cum ipse probe sciret multa se crimini dare Iustiniano, quae eadem iam prioribus imperatoribus exprobrata erant. Quae quidem Iustinianum peccasse queritur, eadem Anastasio crimini dat Ioannes Antiochenus fr. 215 *Ὅτι ὁ βασιλεὺς Ἀναστάσιος ἐπὶ τὸ χεῖρον τραπεὶς πᾶσαν ὁμοῦ τὴν τῆς πολιτείας ἀριστοκρατείαν μετέστησε* (Proc. hist. arc. 41, 22 *ἅπαντα δὲ νεοχμοῦν ἐς ἀεὶ ἤθελε, καὶ τὸ ξύμπαν εἰπεῖν, μέγιστος δὴ οὗτος* <*ἦν*> *διαφθορεὺς τῶν εὖ καθεστώτων.*) *τὰς μὲν ἀρχὰς ἁπάσας ἀπεμπολῶν καὶ τοῖς ἀδικοῦσι συγχωρῶν* (hist. arc. 135, 5 *ἀλλὰ καὶ ὠνίους τὰς ἀρχὰς ἔτι μᾶλλον ἢ πρότερον προὔθηκεν, ἀτιμοτέρας τε αὐτὰς καταστησάμενος ἀπεδίδοτο τοῖς ταύτην δὴ οὐκ ἀποκνοῦσι τὴν ἀνοσίαν ἐμπορίαν ἐργάζεσθαι . . .*) *καὶ πρός τε χρημάτων ἀκόρεστον ἐπιθυμίαν τραπείς·* (hist. arc. 41, 17 *ἔς τε γὰρ ἀνθρώπων ἄδικον φόνον καὶ χρημάτων ἁρπαγὴν ἀλλοτρίων ῥᾷστα ἐχώρει*) *ὥστε κενὰς ἐντεῦθεν γενέσθαι καταλόγων τὰς ἐπαρχίας* (hist. arc. 146, 18 *καὶ ἀπ' αὐτοῦ περιειστήκει τῇ μὲν πολιτείᾳ τὸν τῶν στρατευομένων ἀριθμὸν ἐνδεέστερον ἀεὶ εἶναι*) *καὶ πρὸς*

τὸ ἄηθες καὶ ξένον καταπεπλῆχθαι τοὺς ἄνδρας. Οὐδὲ γὰρ ὅπλοις τοὺς ἐπιόντας βαρβάρους ἠμύνετο, ἀλλὰ χρήμασι τὴν εἰρήνην ἐξωνούμενος διετέλει (hist. arc. 71, 8. 72, 10). *Πρὸς δέ γε τούτοις καὶ τὰς τῶν τελευτώντων οὐσίας ἐπολυπραγμόνει, κοινὴν ἅπασι δωρούμενος τὴν πενίαν* (hist. arc. 77, 24. 78, 4 *τινῶν δὲ οὐ διαθήκας, ἀλλ' ἐπιστολὰς διεσκευασμένοι τὴν οὐσίαν ἔσχον.*) *Ὧν γὰρ αὐτὸς ἐλάμβανε τὰς οὐσίας, τούτοις μετ' ὀλίγον διεδίδου τῷ τῆς εὐσεβείας τρόπῳ* (hist. arc. 178, 19 *τοῦτο θέμενος ἐν τοῖς γράμμασι, δι' ὧν τὰ χρήματα ἐληΐσατο ταῦτα, ὡς τὸν στατῆρα προεῖται τῆς εὐσεβείας ἕνεκα τοῦτον· ἔθος γάρ μοι ἔφη τά τε ὅσια καὶ εὐσεβῆ πράττειν.*)· *καὶ ὧν ἐγύμνου πόλεων τοὺς ἐνοικοῦντας, τὰς οἰκοδομὰς ἀνενέου* (cf. Proc. de aedif.) *κτλ.*

Quod Procopius hist. arc. 118 s. exprobrat Iustiniano aquarum eluviones et terrae motus et pestem, non nimis est vituperandus, cum in hac re speciem aetatis suae praebeat. In Iustiniani quidem Nov. 77, cap. I dicitur: *διὰ γὰρ τὰ τοιαῦτα πλημμελήματα καὶ λιμοὶ καὶ σεισμοὶ καὶ λοιμοὶ γίνονται* ...

Quoniam de auctoritate historiae arcanae satis dixisse mihi videor, iam gratissimo animo commemoro me in hoc quoque Procopii libro edendo a nonnullis viris doctissimis adiutum esse; quorum Domenicus Baßi undeviginti locos codicis *S*, Hieronymus Vitelli decem fere locos codicis *G* summa cum benignitate examinavit, A. Wahler, amicus et collega meus carissimus, plagulas mecum diligentissime correxit, Georgius de Laubmann, praefectus bibliothecae Monacensis, omnes libros, quibus mihi opus erat, Aulam Regnitzianam (Hof), in quo oppido Bavariae munere professoris gymnasii fungebar, insigni cum humanitate et liberalitate mittendos curavit. Quibus viris optimis hic gratias ago quam maximas.

Siglorum indiculus.

G = cod. Vaticanus graec. 1001, cf. vol. I p. XXIX et III p. XIII s.
P = cod. Parisinus suppl. graec. 1185, cf. p. XIV
S = cod. Ambrosianus *G* 14 sup. cf. p. XIV s.
a = cod. Ambrosianus *A* 182 sup., qui solus continet integrum initium historiae arcanae. cf. p. XV
g = cod. Vaticanus 16. cf. p. XVI s. Hoc codice usus sum a p. 181, 1 *ποιεῖται* usque ad finem.
⟨ ⟩ uncis quae inclusa sunt, praeter codicum fidem addenda esse iudicantur.
[ ] cancellis quae inclusa sunt, videntur delenda esse.
* stellula significatur lacuna unius verbi, duabus aut tribus nonnullorum verborum.

ΠΡΟΚΟΠΙΟΥ ΑΝΕΚΔΟΤΑ.

ARGUMENTUM.
EX EDITIONE MALTRETI.

Antoninae genus et educatio. Belisario nupta dedit se adulteriis. Caede Silverii papae Theodoram Aug. sibi conciliat. Eius flagitia cum Theodosio adulescente. Deprehenditur a Belisario: in delatores saevit: Photium filium suum insidiis petit. Theodosius fit Ephesi monachus. (Cap. 1.) Belisarius adversus Chosroem mittitur. Photium privignum suum hortatur ad necem Theodosii, ad Antoninam reversi. Res orientis, et in his culpa Belisarii. Ex epistula Theodorae Aug. ansam Chosroes carpendi Romanos arripit. (2.) Antoninam Belisarius in custodiam dat. Theodosius Antoninae amasius in templum confugit. Belisarius Byzantium revocatur. Photius Theodosium in vincla conicit. Theodora in amicos Belisarii saevit: Theodosium senatorem ad praesepium damnat: Antoninae Theodosium amasium reddit: Photium habet in carcere: asylum violat. Elabitur Photius monitu Zachariae prophetae in somnis visi. Fit monachus. (3.) Ob prolatam temere vocem, aegrotante Iustiniano, Buzes in carcerem subterraneum conicitur. Exauctoratur Belisarius. Indigna passum, tandem Theodora Antoninae condonat. Ioannina Belisarii filia Anastasio spondetur. Altera Belisarii in Italiam expeditio, infelix. Fortuna nihil aliud nisi divina providentia. (4.) Avaritia Belisarii in Italia: ab eo Ioannes se abalienat. Italiam Belisarius afflictam relinquit. Nuptiarum conciliatrix turpissima. Belisarius uxorius. Sergii perfidia ac crudelitas in legatos. Solomon Pegasium, a quo pie monebatur, occidit: ab imperatore absolutus, a Deo plectitur. (5.) Iustini senioris genus et patria. Cum esset praetorianus, mortem evasit, Ioanne in somnis monito, ne illum occideret. Praetorianis ab Anastasio praeficitur. Fit imperator, quamvis analphabetus. Nova subscribendi ars. Lupicina Iustini uxor. Iustiniani ingenium. Auctor caedis Amantii ac Vitaliani. (6.) Factionum circi licentia egregie describitur. Novitas in cultu corporis. Latrocinia ac caedes.

Exarmatae leges. Libido vaga. Uxoris mira in maritum fides. Iustiniani reprehensio. (7.) Iustinus asino similis. Iustinianus aerarium exhaurit: insanas moles in mari substruit: pecuniae quaerendae viam init iniustam; forma corporis Domitianum refert. De statua Domitiani narratio parum hactenus nota. Iustiniani mores, sane pessimi. (8.) Theodorae genus obscurissimum: turpissima educatio: infamis corporis quaestus. Amasia Iustiniani. Theodotus Cucurbitinus iniquissime habitus. Uxor Iustini non sinit Iustiniano nubere Theodoram. Iustini lege senatoribus connubia cum scenicis ac meretricibus permissa. Quo die ad imperium accitus Iustinianus. (9.) Auctoris iudicium de Iustiniani matrimonio cum Theodora. Quae forma corporis Theodorae. Eius consensio cum Iustiniano. (10.) Iustinianus nihil non mutat, ut nomen suum propaget, illud rebus multis indendo. Pecuniam profundit: sua prodigentia barbaros allicit. Avaritiae causa haereticos exagitat. Montanistarum horrenda desperatio. Samaritani ad Christum conversi, maximam partem ad Manichaeos et polytheos deficiunt. Rustici Samaritani cum suo rege caesi. Persequitur Iustinianus gentiles, turpes puerorum amatores, astrologos. (11.) Insignis fraus in Zenonem, in alios senatores, in Ioannem Edessenum. Iustinianus ac Theodora daemones habiti. Iustinianus a daemone fertur genitus: visus sine capite ambulare. Mira monachi visio. Iustinianus non cibo, non somno, sed Veneri deditus. Rem cum lemuribus habet Theodora. Eius somnium. (12.) Iustiniani lenitas affectata: ira in supplices: favor impensus sacerdotibus: qualis pietas: consensio cum Theodora: levitas. Triboniani assentatio. Iustiniani amor et odium avaritia: pretio fixae et refixae leges. Quinam illi carissimi. Eius perfidia. Ieiunia. (13.) Iustiniani barbaries. Iniqua iudicia. Nihil senatui nisi nomen relictum. Pondera librae Themidis, aurum. Referendarii munus. Praetoriani extorquent iudicia. Leo Cilix auctor vendendi iuris. (14). Theodorae crudelitas: cura corporis: fastus: pedum oscula: calumniae: saevitia: ignominiosa iniuria in patricium: secessus in Heraeum. (15.) Theodora Amalasunthae parat exitium. Ad id Petrum inducit. Prisco insidiatur. Areobindum famulum pessime habet. Basianum crudelissime necat. Exagitat Diogenem. Theodorum torquet. (16.) Theodora in crucem agit praefectum, quod Venetum damnarit. Meretrices ad meliorem frugem adigit. Nobiles feminas vexat. Ioannem filium suum nothum occidit. Mulieribus adulteris patrocinatur. Episcopos et magistratus creat. Matrimonia nobilium curat. Saturnino meretricem despondet, et querentem illum, ceu puerum, flagro excipit. Acta in Ioannem Cappadocem. (17.) Clades a Iustiniano orbi illatae. Africana calamitas. Belisarius male ex

Africa revocatus. Italiae clades. Fines imperii Gothici. Incursiones barbarorum in Europam. Saracenorum ac Persarum irruptiones. Iustinianus bellorum auctor. Praepostere Theologus. Strages civiles. Inundationes fluminum. Terrae motus. Pestilentia. (18.) Somnium de Iustiniani avaritia. Relictas ab imp. Anastasio opes profundit. Subditos expilat: in barbaros prodigus. (19.) Praefectus venaliciis. Instituta monopolia. Praetor plebis et quaesitor nove creati. Deformata quaestura. Triboniano succedit Iunilus: huic Constantinus. Utriusque mores. (20.) Aërium tributum. Rapacitas praefectorum praet. Phocae et Bessi integritas. Praefecturae locatae pretio. Lex de praefecturis gratis dandis. Magistratus conductitii. Scelerati reip. praefecti. Barbaris data grassandi copia. (21.) Ioanni Cappadoci praefecto praetorio subrogatur Theodotus: huic Petrus Barsymes. Eius scelera. Collector. Frumenti putridi distributio. Petrus Theodorae carissimus ob magiae peritiam. Iustiniani levitas. Petrus aerario praeficitur. Nummus aureus diminutus. (22.) Sublata vectigalium condonatio. De annona, impositione, descriptione. Barbarorum Byzantii agentium multitudo. (23.) Vexati milites. Triplex eorum ordo. Quam inique a logothetis habiti. Milites limitanei. Scholarii. Supernumerarii. Domestici et protectores. Quinquennale donativum sublatum. (24.) Vexati institores. Nummularii. Sericarii. Serici pretium. (25.) Iacent causidici: Medici et liberalium disciplinarum magistri. Sublata spectacula: sublati consules. Pauperum vexatio. Romae praetorianis relictum a Theodorico stipendium, itemque frumentum pauperibus D. Petri. Haec Alexander forficula resecat. Avertit Hephaestus assignatam a Diocletiano pauperibus Alexandrinis annonam. (26.) Rhodo Alexandriae praefectus Pauli eiusdem urbis antistitis impulsu et Iustiniani iussu Psoem diaconum necat. Sententia Vigilii papae Paulus deicitur solio. Iustinianus Rhodonem, Theodora Arsenium capite plectunt. Vigilii constantia. Faustinus Samarita reus ab imp. absolvitur. (27.) Priscus Emesenus falsarius. Praescriptio centenaria ecclesiis data. Longinus Prisci fraudem deprehendit. Hebraeos vexat Iustinianus. (28.) Iustiniani dissimulatio rixam gravissimam parit. Eudaemonis et Euphratae hereditates occupat. Lex de heredibus senatorum. Iniqua Iustiniani sententia. Praesente illectus pecunia nec Venetis favet. (29.) Quae olim ratio cursus publici. Sublati a Iustiniano veredarii plurimis in locis, et exploratores. Eius ridiculum. Salutandi imperatoris et Augustae mos. Regiae frequentia. (30.)

B 10 Ὅσα μὲν οὖν Ῥωμαίων τῷ γένει ἐν τοῖς πολέμοις ἄχρι δεῦρο ξυνηνέχθη γενέσθαι, τῇδέ μοι δεδιήγηται, ἧπερ δυνατὸν ἐγεγόνει τῶν πράξεων τὰς δηλώσεις ἁπάσας ἐπὶ καιρῶν τε καὶ χωρίων τῶν ἐπιτηδείων ἁρμοσαμένῳ· τὰ δὲ ἐνθένδε οὐκέτι μοι τρόπῳ τῷ εἰρημένῳ ξυγκείσεται, ἐπεὶ ἐνταῦθα γεγράψεται πάντα, ὁπόσα δὴ τετύχηκε γενέσθαι πανταχόθι τῆς Ῥωμαίων 2 ἀρχῆς. αἴτιον δὲ, ὅτι δὴ οὐχ οἷόν τε ἦν περιόντων P 2 ἔτι τῶν αὐτὰ εἰργασμένων ὅτῳ δεῖ ἀναγράφεσθαι τρόπῳ. οὔτε γὰρ διαλαθεῖν πλήθη κατασκόπων οἷόν τε ἦν οὔτε φωραθέντα μὴ ἀπολωλέναι θανάτῳ οἰκτίστῳ· οὐδὲ γὰρ ἐπὶ τῶν συγγενῶν τοῖς γε οἰκειοτάτοις 3 τὸ θαρρεῖν εἶχον. ἀλλὰ καὶ πολλῶν τῶν ἐν τοῖς ἔμπροσθεν λόγοις εἰρημένων ἀποκρύψασθαι τὰς αἰτίας ἠναγκάσθην. τὰ [τό] τε [δ'] οὖν τέως ἄρρητα μείναντα καὶ τῶν ἔμπροσθεν δεδηλωμένων ἐνταῦθά μοι τοῦ λόγου τὰς αἰτίας σημῆναι δεήσει.

4 B 11 Ἀλλά μοι ἐς ἀγώνισιν ἑτέραν ἰόντι χαλεπήν τινα καὶ δεινῶς ἄμαχον τῶν Ἰουστινιανῷ τε καὶ Θεοδώρᾳ βεβιωμένων βαμβαίνειν τε καὶ ἀναποδίζειν ἐπὶ πλεῖστον

---

1 τοῖς Braun] τε codd., γε Kraš. ‖ 5 ἐνθένδε Alem.] ἐνθάδε *G* ‖ 10—5, 19 πλήθη — προγεγενημένων] Exordium magna ex parte mutilum est in *G*, exstant haec: πλ * οἷόντε ἦν, οὔτε φωραθέντων μὴ ἀπολωλέναι θανάτῳ οἰκτίστῳ. ὁ * συγγενῶν τοῖς γε οἰκειοτάτοις τὸ θαῤῥεῖν εἶχον. ἀλλὰ καὶ πολλῶν τῶν ἐντ * εἰρημένων ἀποκρύψασθαι τὰς αἰτίας ἠναγκάσθην. τότε δ' οὖν * καὶ τῶν ἔμπροσθεν δεδηλωμένων ἐντ * ἀλλά μοι ἐς ἀγώνισιν ἑτέραν ἰόντι * θεοδώρᾳ βεβιωμένων, βα * ξυμβαίνει, ὅτι δή μοι τὰ * φανησόμενα τοῖς ὄπι * παλαιοτέραν τὴν ἀκοη * * εὔπορος ὑπὸ ἀμαθίας ἡ ἐς τῶν ο γεγενημένων ‖ 11 φωραθέντα Maltr.] φωραθέντων *G* ‖ 15 ἠναγκάσθην videtur legendum in *G*, ἠναγκάσμην legit Kraš. et librarius cod. *a* | [τό] τε Kraš.] τότε codd. | [δ'] οὖν scripsi] δ' οὖν codd., γοῦν conic. Kraš.

ἐκεῖνο διαριθμουμένῳ ξυμβαίνει, ὅτι δή μοι ταῦτα ἐν
τῷ παρόντι γεγράψεται τὰ μήτε πιστὰ μήτε εἰκότα
φανησόμενα τοῖς ὄπισθεν γενησομένοις, ἄλλως τε
ὁπηνίκα ἐπὶ μέγα ῥεύσας ὁ χρόνος παλαιοτέραν τὴν
5 ἀκοὴν ἀπεργάζεται, δέδοικα μὴ καὶ μυθολογίας ἀποί-
σομαι δόξαν κἀν τοῖς τραγῳδοδιδασκάλοις τετάξομαι.
ἐκείνῳ μέντοι τὸ θαρρεῖν ἔχων οὐκ ἀποδειλιάσω τὸν 5
ὄγκον τοῦ ἔργου, ὥς μοι οὐκ ἀμαρτύρητος ὁ λόγος
ἐστίν. οἱ γὰρ νῦν ἄνθρωποι δαημονέστατοι μάρτυρες
10 τῶν πράξεων ὄντες ἀξιόχρεῳ παραπομποὶ ἐς τὸν ἔπειτα
χρόνον τῆς ὑπὲρ αὐτῶν πίστεως ἔσονται.

Καίτοι με καὶ ἄλλο τι ἐς λόγον τόνδε ὀργῶντα 6
πολλάκις ἐπὶ πλεῖστον ἀνεχαίτισε χρόνον. ἐδόξαζον
γὰρ τοῖς ἐς τὸ ἔπειτα γενησομένοις ἀξύμφορον ἔσεσθαι
15 τοῦτό γε, ἐπεὶ τῶν ἔργων τὰ πονηρότατα μάλιστα
ξυνοίσει ἄγνωστα χρόνῳ τῷ ὑστέρῳ εἶναι, ἢ τοῖς τυ-
ράννοις ἐς ἀκοὴν ἥκοντα ζηλωτὰ γίνεσθαι. τῶν γὰρ 7
κρατούντων ἀεὶ τοῖς πλείστοις εὔπορος ὑπὸ ἀμαθίας
ἡ ἐς τῶν προγεγενημένων τὰ κακὰ μίμησις, καὶ πρὸς
20 τὰ ἡμαρτημένα τοῖς παλαιοτέροις ῥᾷόν τε καὶ ἀπονώ-
τερον ἐς ἀεὶ τρέπονται. ἀλλά με ὕστερον ἐς τῶνδε 8
τῶν ἔργων τὴν ἱστορίαν τοῦτο ἤνεγκεν, ὅτι δὴ τοῖς
ἐς τὸ ἔπειτα τυραννήσουσιν ἔνδηλον ἔσται ὡς μάλιστα
μὲν καὶ τὴν τίσιν αὐτοὺς τῶν ἁμαρτανομένων περιελ- B 12
25 θεῖν οὐκ ἀπεικὸς εἴη, ὅπερ καὶ τοῖσδε τοῖς ἀνθρώποις
ξυνηνέχθη παθεῖν· ἔπειτα δὲ καὶ ἀνάγραπτοι αὐτῶν
αἱ πράξεις καὶ οἱ τρόποι ἐς ἀεὶ ἔσονται, ἀπ' αὐτοῦ τε
ἴσως ὀκνηρότερον παρανομήσουσι. τίς γὰρ ἂν τὸν 9

5 δέδοικα ⟨οὖν⟩ Piccolos ‖ 6 τραγῳδοδιδασκάλοις Dind.] τραγωδιδασκάλοις *a* | τετάξομαι Dind.] τετάξωμαι *a* ‖ 13 ἐδόξαζον *a*] ἐδόξασα Dind. ‖ 28 παρανομήσουσιν *G*

Σεμιράμιδος ἀκόλαστον βίον ἢ τὴν Σαρδαναπάλου καὶ Νέρωνος μανίαν τῶν ἐπιγενομένων ἀνθρώπων ἔγνω, εἰ μὴ τοῖς τότε γεγραφόσι τὰ μνημεῖα ταῦτα ἐλέλειπτο; ἄλλως τε καὶ τοῖς τὰ ὅμοια πεισομένοις, ἂν οὕτω τύχοι, πρὸς τῶν τυράννων οὐκ ἀκερδὴς αὕτη παντά- 5
10 πασιν ἡ ἀκοὴ ἔσται. παραμυθεῖσθαι γὰρ οἱ δυστυχοῦντες εἰώθασι τῷ μὴ μόνοις σφίσι τὰ δεινὰ ξυμπεσεῖν. διά τοι ταῦτα πρῶτα μὲν ὅσα Βελισαρίῳ μοχθηρὰ εἴργασται ἐρῶν ἔρχομαι· ὕστερον δὲ καὶ ὅσα Ἰουστινιανῷ καὶ Θεοδώρᾳ μοχθηρὰ εἴργασται ἐγὼ δηλώσω. 10
11 P 3 Ἦν τῷ Βελισαρίῳ γυνή, ἧς δὴ ἐν τοῖς ἔμπροσθεν λόγοις ἐμνήσθην, πάππου μὲν καὶ πατρὸς ἡνιόχων, ἔν τε Βυζαντίῳ καὶ Θεσσαλονίκῃ τὸ ἔργον τοῦτο ἐνδειξα-
B 13 μένων, μητρὸς δὲ τῶν τινος ἐν θυμέλῃ πεπορνευ-
12 μένων. αὕτη τὰ πρότερα μάχλον τινὰ βιώσασα βίον 15 καὶ τὸν τρόπον ἐξερρωγυῖα, φαρμακεῦσί τε πατρῴοις πολλὰ ὡμιληκυῖα, καὶ τὴν μάθησιν τῶν οἱ ἀναγκαίων

---

11 cf. indicem s. v. Ἀντωνίνα ‖ 14—15 μητρὸς—πεπορνευμένων] Suid. s. v. θυμέλη ‖ 15—17 αὕτη—ὡμιληκυῖα] cit. Suid. s. v. μάχλος, γυνὴ τὸν τρ. ἐξερρωγυῖα Suid. s. v. ἐξερρωγυῖα, φαρμακεῦσί τε πατρῴοις πολλὰ ὡμιληκυῖα Suid. s. v. φαρμακεύς

---

1 τὴν G corr.] τὸν G pr. m. ‖ 2—3 ἔγνω εἰ μὴ evanuerunt in G ‖ 4 τοῖς—πεισομένοις] τοῖς τὰ ὅμοια πεισομ evanuerunt in G ‖ 5—7, 15 παντάπασιν—λόγοις] in mutilo cod. G haec exstant: παντά * παραμυθεῖσθαι γὰρ οἱ δυστυχοῦντες εἰώθασι, τῷ μὴ μόνοις * εῖν διάτοι ταῦτα πρῶτα μὲν ὅσα βελισσαρίῳ μοχθηρα * τερον δὲ καὶ ὅσα ἰουστινιανῷ καὶ θεοθώρα μοχθηρὰ εἴργασται, ἐγὼ * δὴ ἐν τοῖς ἔμπροσθεν λόγοις, ἐμνήσθην πάππου * ονίκῃ τὸ ἔργον τοῦτο ἐνδειξαμένων. * τη τὰ πρότερα μάλλον τινὰ βιώσασα * οις πολλὰ ὡμιληκυῖα καὶ * αρίῳ γυνὴ γέγονε μήτηρ ἤδη * * ρχῆς εἶναι. ξυγκαλύπτειν * * λόγοις ‖ 14 τῶν τινος ἐν Suid.] τῶν τινος τῶν a | 15 τὰ πρότερα] τὸ πρότερον Suid.

ποιησαμένη, ἐγγυητὴ ὕστερον Βελισαρίῳ γυνὴ γέγονε, μήτηρ ἤδη παίδων γενομένη πολλῶν. εὐθὺς μὲν οὖν 13 ἠξίου μοιχεύτρια τὸ ἐξ ἀρχῆς εἶναι, ξυγκαλύπτειν μέντοι τοὔργον τοῦτο ἐν σπουδῇ εἶχεν, οὐ καταδυομένη
5 τοῖς οἰκείοις ἐπιτηδεύμασιν, οὐδέ τι πρὸς τοῦ ξυνοικοῦντος δειμαίνουσα δέος (οὔτε γὰρ αἰδῶ τινα ἔργου ὁτουοῦν ἔλαβε πώποτε καὶ τὸν ἄνδρα μαγγανείαις πολλαῖς κατείληφεν), ἀλλὰ τὴν ἐκ τῆς βασιλίδος ὑποπτεύουσα τίσιν. λίαν γὰρ ἐς αὐτὴν ἡ Θεοδώρα
10 ἠγριαίνετό τε καὶ ἐσεσήρει. ἐπεὶ δὲ αὐτὴν ἐν τοῖς ἀναγκαιοτάτοις ὑπουργήσασα χειροήθη πεποίηται, πρῶτα μὲν Σιλβέριον διαχρησαμένη τρόπῳ ᾧπερ ἐν τοῖς ὄπισθεν λόγοις εἰρήσεται, ὕστερον δὲ Ἰωάννην κατεργασαμένη τὸν Καππαδόκην, ὥσπερ μοι ἐν τοῖς ἔμ-
15 προσθεν λόγοις ἐρρήθη, ἐνταῦθα δὴ ἀδεέστερόν τε καὶ οὐκέτι ἀποκρυπτομένη ἅπαντα ἐξαμαρτάνειν οὐδαμῇ ἀπηξίου.

Ἦν δέ τις νεανίας ἐκ Θρᾴκης ἐν τῇ Βελισαρίου 15 B14

1—3 ἐγγυητὴ — εἶναι] ἡ δὲ ἐγγυητὴ κτλ. Suid. s. v. ἐγγυήσασθαι ‖ 3—5 ξυγκαλύπτειν — ἐπιτηδεύμασι] cit. Suid. s. v. καταδύεται ‖ 5—7 οὐδέ — πώποτε] cit. Suid. s. v. δειμαίνει ‖ 7—8 καὶ — κατείληφεν] καὶ τὸν ἄνδρα μαγγανείαις κατειλήφει πολλαῖς Suid. s. v. μαγγανεία ‖ 9—10 λίαν — ἐσεσήρει] cit. Suid. s. v. ἐσεσήρεσαν ‖ 13 εἰρήσεται] nusquam Procopius haec narravit ‖ 14 cf. I 136, 13

1—2 γέγονεν, ἤδη παίδων μήτηρ Suid. ‖ 2 μὲν om. Suid. ‖ 3 ἐξ ἀρχῆς a] ἐξῆς Suid. ‖ 4 τὸ ἔργον Suid. | εἶχε Suid | οὐ καταδυομένη a] οὐ om. Suid., ἐγκαταδυομένη Maltr. ‖ 5 οὐδέ τι Suid.] οὐδέ το a ‖ 6 γὰρ a] om. Suid. ‖ 7 ὁτουοῦν] οὑτονοῦν a, om. Suid. | ἐλάμβανε Suid. ‖ 8 κατειλήφει πολλαῖς Suid. ‖ 10 τε om. Suid. | ἐσεσήρει Suid.] ἐμεμήνει a | τοῖς] τοῖσιν a, τοῖς οἱ Maltr., cf. cap. 27, 6 ‖ 15 ἀδεέστερόν non satis comparet in G ‖ 16 οὐκέτι] οὐ evanuit in G ‖ 18 βελισσαρίου hic et infra passim G

□□ οἰκίᾳ, Θεοδόσιος τοὔνομα, δόξης γεγονὼς ἐκ πατέρων
16 Εὐνομιανῶν καλουμένων. τοῦτον, ἡνίκα ἐς Λιβύην
ἀποπλεῖν ἔμελλεν, ἔλουσε μὲν ὁ Βελισάριος τὸ θεῖον
λουτρὸν καὶ χερσὶν ἀνελόμενος ἐνθένδε οἰκείαις εἰσποι-
ητὸν ἐποιήσατο ξὺν τῇ γυναικὶ παῖδα, ἧπερ εἰσποιεῖ- 5
σθαι Χριστιανοῖς νόμος, καὶ ἀπ' αὐτοῦ ἡ Ἀντωνίνα
τὸν Θεοδόσιον ἅτε παῖδα ὄντα ἱερῷ λόγῳ ἠγάπα τε
□ ὡς τὸ εἰκὸς κἀν τοῖς μάλιστα ἐπιμελομένη ἀμφ' αὐτὴν
□ 17 εἶχεν. εὐθύς τε ἐρασθεῖσα αὐτοῦ ἐκτόπως ἐν τῷ διάπλῳ
τούτῳ καὶ κατακορὴς γεγονυῖα τῷ πάθει ἀπεσείσατο 10
μὲν θείων τε καὶ ἀνθρωπίνων πραγμάτων δέος τε καὶ
αἰδῶ ξύμπασαν, ἐμίγνυτο δὲ αὐτῷ τὰ μὲν πρῶτα ἐν
παραβύστῳ, τελευτῶσα δὲ καὶ οἰκετῶν καὶ θεραπαινί-
□ 18 δων παρόντων. κάτοχος γὰρ ἤδη τῷ πόθῳ τούτῳ
γεγενημένη καὶ διαφανῶς ἐρωτόληπτος οὖσα οὐδὲν ἔτι 15
τοῦ ἔργου κώλυμα ἔβλεπε. καί ποτε ὁ Βελισάριος ἐπ'
P 4 αὐτοφώρῳ τὴν πρᾶξιν λαβὼν ἐν Καρχηδόνι ἐξηπάτητο
19 πρὸς τῆς γυναικὸς ἑκών γε εἶναι. ὁ μὲν γὰρ ἄμφω

---

2 cf. I 365, 13 ‖ 2—6 τοῦτον—νόμος] τὸν δὲ Εὐνομιανὸν ἔλουσε Βελισάριος τὸ θεῖον λουτρόν, χερσὶ δὲ οἰκείαις ἀνελόμενος εἰσποιητὸν ἐποιήσατο παῖδα κτλ. Suid. s. v ἔλουσε et s. v. Εὐνομιανός ‖ 4—6 οἰκείαις—νόμος] εἰσεποιήσατο αὐτὸν χερσὶν οἰκείαις εἰς παῖδα κτλ. Suid. s. v. ἧπερ ‖ 9 εἶθ' ὕστερον ἐρασθεῖσα αὐτοῦ ἐν παραβύστῳ Suid. s. v. ἐκτόπως ‖ 9—10 ἐν τῷ διάπλω τούτῳ κατακορὴς γενομένη τῷ πάθει Suid. s. v. κατακορής ‖ 12—14 ἠράσθη αὐτοῦ τὰ μὲν πρῶτα ἐν παραβύστῳ, τελευτῶσα δὲ καὶ οἰκετῶν παρόντων Suid. s. v. ἐν παραβύστῳ ‖ 14—16 κάτοχος—ἔβλεπε] κάτοχος ἤδη κτλ. Suid. s. v. κάτοχος ‖ 16—18 ὁ Βελ.—εἶναι] ὁ δὲ ἐπ' κτλ. Suid. s. v. ἐπ' αὐτοφώρῳ ‖ 17—18 ὁ δὲ ἐξηπάτητο—εἶναι] cit. Suid. s. v. ἑκόντων εἶναι

---

4 ἐνθένδεν G ‖ 8 ἀμφ' scripsi] ὑφ' codd. ‖ 9 εὐθύς τε ἐρασθεῖσα αὐτοῦ scripsi] εἶθ' ὕστερον αὐτοῦ ἐρασθεῖσα G, εἶθ' ὕστερον ἐρασθεῖσα αὐτοῦ Suid., cf. Hy 2 p. 29 ‖ 10 γεγονυῖα G] γενομένη Suid. ‖ 14 πόθῳ] malim πάθει, cf. vers. 10 ‖ 15 διαφανὴς Suid. ‖ 16 τοῦ ἔργου om. Suid., τοῦ ἔργου τούτου g

ἐν δωματίῳ καταγείῳ εὑρὼν ἐμεμήνει, ἡ δὲ οὔτε ἀποδειλιάσασα οὔτε καταδυσαμένη τῷ ἔργῳ τούτῳ, „Ἐνταῦθα", ἔφη, „τῶν λαφύρων τὰ τιμιώτατα σὺν τῷ B 15
„νεανίᾳ κρύψουσα ἦλθον, ὡς μὴ ἐς βασιλέα ἔκπυστα
5 „γένηται". ἡ μὲν οὖν ταῦτα σκηπτομένη εἶπεν, ὁ δὲ 20 ἀναπεισθῆναι δόξας ἀφῆκε, καίπερ τῷ Θεοδοσίῳ ἐκλελυμένον τὸν ἱμάντα ὁρῶν τὸν ἀμφὶ τὰ αἰδοῖα τὰς ἀναξυρίδας ξυνδέοντα. ἔρωτι γὰρ τῆς ἀνθρώπου ἀναγκασθεὶς ἐβούλετό οἱ τὴν τῶν οἰκείων ὀφθαλμῶν
10 θέαν ὡς ἥκιστα ἀληθίζεσθαι. τῆς δὲ μαχλοσύνης ἀεὶ 21 προϊούσης ἐς κακὸν ἄφατον οἱ μὲν ἄλλοι θεώμενοι τὰ πραττόμενα ἐν σιωπῇ εἶχον, δούλη δέ τις Μακεδονία ὄνομα ἐν Συρακούσαις, ἡνίκα Σικελίας ἐκράτησε Βελισάριος, ὅρκοις δεινοτάτοις τὸν δεσπότην καταλαβοῦσα,
15 μή ποτε αὐτὴν τῇ κεκτημένῃ καταπροήσεσθαι, τὸν πάντα αὐτῷ λόγον ἐξήνεγκε, δύο παιδάρια πρὸς μαρτυρίαν παρασχομένη, οἷς δὴ τὰ ἀμφὶ τὸν κοιτῶνα ὑπηρετεῖν ἐπιμελὲς ἦν. ταῦτα μαθὼν Βελισάριος τῶν 22 οἱ ἑπομένων τινὰς τὸν Θεοδόσιον ἐκέλευσε διαχειρί-
20 σασθαι. ὁ δὲ προμαθὼν εἰς Ἔφεσον φεύγει. τῶν 23 γὰρ ἑπομένων οἱ πλεῖστοι τῷ ἀβεβαίῳ τῆς τοῦ ἀνθρώπου γνώμης ἡγμένοι ἀρέσκειν τὴν γυναῖκα μᾶλλον ἐν σπουδῇ εἶχον ἢ τῷ ἀνδρὶ δοκεῖν εὐνοϊκῶς ἔχειν, οἵ γε καὶ τὰ σφίσιν ἐπικείμενα τότε ἀμφ' αὐτῷ προὔδοσαν.
25 Κωνσταντῖνος δὲ Βελισάριον ὁρῶν περιώδυνον γεγο- 24 νότα τοῖς ξυμπεσοῦσι, τά τε ἄλλα ξυνήλγει καὶ τοῦτο

6—8 καίπερ—ξυνδέοντα] cit. Suid. s. v. ἀναξυρίδας

1 δωματίῳ Dind.] δωματείω G || 6 πεισθῆναι δόξας] hinc incipit S || 7 ὁρῶν om. Suid. || 8 ξυνδέοντα GS] δέοντα Suid. || 15 τὸν S] om. G || 19 τινὰς S] ινὰς evanuit in G | θεοδοσι// G || 20 ἐς S | φεύγ// G

ἐπεῖπεν ὡς „Ἔγωγε θᾶσσον ἂν τὴν γυναῖκα ἢ τὸν
25 „νεανίαν κατειργασάμην“. ὅπερ Ἀντωνίνα μαθοῦσα,
κεκρυμμένως αὐτῷ ἐχαλέπαινεν, ὅπως ἔγκοτον ἐνδείξη-
26 B16 ται τὸ εἰς αὐτὸν ἔχθος. ἦν γὰρ σκορπιώδης τε καὶ
ὀργὴν σκοτεινή. οὐ πολλῷ δὲ ὕστερον ἢ μαγγανεύσασα 5
ἢ θωπεύσασα πείθει τὸν ἄνδρα ὡς οὐχ ὑγιὲς τὸ κατη-
γόρημα τὸ ταύτης γένοιτο· καὶ ὃς Θεοδόσιον μὲν μελ-
λήσει οὐδεμιᾷ μετεπέμψατο, Μακεδονίαν δὲ καὶ τὰ
27 παιδία τῇ γυναικὶ ἐκδοῦναι ὑπέστη. οὓς δὴ ἅπαντας
πρῶτα τὰς γλώττας, ὥσπερ λέγουσιν, ἀποτεμοῦσα, εἶτα 10
κατὰ βραχὺ κρεουργήσασα καὶ θυλακίοις ἐμβεβλημένη
ἐς τὴν θάλατταν ὀκνήσει οὐδεμιᾷ ἔρριψε, τῶν τινος
οἰκετῶν Εὐγενίου ὄνομα ὑπουργήσαντός οἱ ἐς ἅπαν
τὸ ἄγος, ᾧ δὴ καὶ τὸ ἐς Σιλβέριον εἴργασται μίασμα.
28 καὶ Κωνσταντῖνον δὲ οὐ πολλῷ ὕστερον Βελισάριος 15
τῇ γυναικὶ ἀναπεισθεὶς κτείνει. τὰ γὰρ ἀμφὶ τῷ
Πραισιδίῳ καὶ τοῖς ξιφιδίοις τηνικάδε ξυνηνέχθη
γενέσθαι ἅπερ μοι ἐν τοῖς ἔμπροσθεν λόγοις δεδή-
29 λωται. μέλλοντος γὰρ τοῦ ἀνθρώπου ἀφίεσθαι, οὐ
πρότερον ἀνῆκεν ἡ Ἀντωνίνα, ἕως αὐτὸν τοῦ λόγου 20
30 P5 ἐτίσατο, οὗπερ ἐγὼ ἀρτίως ἐμνήσθην. καὶ ἀπ' αὐτοῦ
ἔχθος μέγα περιεβάλλετο ὁ Βελισάριος ἔκ τε βασιλέως
καὶ τῶν ἐν Ῥωμαίοις λογίμων ἁπάντων.
31 Ταῦτα μὲν οὖν τῇδε κεχώρηκε. Θεοδόσιος δὲ οὐκ

4—5 ἦν δὲ ἄρα ἡ Θεοδώρα σκορπιώδης καὶ ὀργὴν σκοτεινή Suid. s. v. σκορπιαίνεσθαι || 17 cf. II 186

1 Ἔγωγε Dind.] ἐγώτε codd. | τὴν γυναῖκα θᾶσσον ἂν S || 3 ἔγκοτα G in contextu, S] ἔγγιστα G in marg., ἐν σκότῳ vel ἐν καιρῷ Herw., malim ἥκιστα || 4 ἔχθος] ἄχθος G pr. m. || 8 οὐδεμία G || 9 τῇ G] τῆς S || 12 εἰς S || 17 Πραισιδίῳ Alem.] περσιδίω codd. || 22 περιεβάλετο S

ἔφη ἐς Ἰταλίαν ἀφίξεσθαι οἷός τε εἶναι, ἵνα δὴ τότε
διατριβὴν εἶχον Βελισάριός τε καὶ Ἀντωνίνα, ἣν μὴ
Φώτιος ἐκποδὼν γένηται. ὁ γὰρ Φώτιος πρόχειρος 32
μὲν φύσει ἐς τὸ δάκνεσθαι ἦν, ἤν τις αὐτοῦ παρ' B 17
5 ὁτῳοῦν [αὐτῇ] δύνηται μᾶλλον, ἐν μέντοι τοῖς ἀμφὶ □
Θεοδοσίῳ καὶ δικαίως ἀποπνίγεσθαί οἱ ξυνέβαινεν,
ὅτι δὴ αὐτὸς μὲν καίπερ υἱὸς ὢν ἐν οὐδενὶ ἐγίγνετο
λόγῳ, ὁ δὲ δυνάμει τε πολλῇ ἐχρῆτο καὶ χρήματα
μεγάλα περιεβάλλετο. λέγουσι γὰρ αὐτὸν ἐκ Καρχη- 33
10 δόνος τε καὶ Ῥαβέννης ἐς ἑκατὸν κεντηνάρια ἐξ ἀμφοῖν
Παλατίοιν συλήσαντα ἔχειν, ἐπεὶ καὶ μόνῳ κατ' ἐξου-
σίαν διαχειρίσαι ταῦτα ξυνέβη. ἡ δὲ Ἀντωνίνα ἐπεὶ 34
τὴν Θεοδοσίου γνώμην ἔμαθεν, οὐ πρότερον ἀνῆκεν
ἐνεδρεύουσά τε τὸν παῖδα καὶ φονίοις τισὶν ἐπιβου-
15 λαῖς αὐτὸν μετιοῦσα, ἕως καταπράξασθαι ἴσχυσεν αὐτὸν
μὲν ἐνθένδε ἀπαλλαγέντα ἐς Βυζάντιον ὁδῷ ἰέναι,
οὐκέτι φέρειν τὰς ἐνέδρας οἷόν τε ὄντα, τὸν δὲ Θεο-
δόσιον ἐς τὴν Ἰταλίαν παρ' αὐτὴν ἥκειν. οὗ δὴ 35
κατακόρως τῆς τε τοῦ ἐρωμένου διατριβῆς καὶ τῆς
20 τοῦ ἀνδρὸς εὐηθείας ἀποναμένη χρόνῳ ὕστερον ξὺν
ἀμφοῖν ἐς Βυζάντιον ἧκεν. ἔνθα δὴ Θεοδόσιον ἐδε- 36
δίσσετο τὸ συνειδέναι καὶ ἔστρεφεν αὐτοῦ τὴν διάνοιαν. □
λήσειν γὰρ ἐς τὸ παντελὲς οὐδαμῇ ᾤετο, ἐπεὶ τὴν γυ-
ναῖκα ἑώρα οὐκέτι τὸ πάθος ἐγκρυφιάζειν οἵαν τε

3 De hoc Photio multa profert Ioannes Eph. p. 31

1 δὴ S] ἤδη G ‖ 3 Φώτιος codd.] Φωτεινός Theoph. I 242, 4 ‖ 5 [αὐτῇ] δύνηται] αὐτῇ delevit Alem. ‖ 7 ἐγίγνετο] //γνετο G, ἐγίνετο S ‖ 10 Ῥαβέννης] ῥαβαίνης G ‖ 11 συλλήσαντα G ‖ 13 ἀνῆκε G ‖ 16 ἐνθένδε S] ἐνθάδε G ‖ 18 εἰς S ‖ 21 ἧκεν G] ἦλθεν S ‖ 22 τὸ S] τῷ G ‖ 24 οἵαν τε G] οἷά τε S

οὖσαν, οὐδὲ κεκρυμμένως ἐξερρωγέναι, ἀλλὰ διαρ-
ρήδην μοιχαλίδα εἶναί τε καὶ ὀνομάζεσθαι ὡς ἥκιστα
37 ⟨ἀπ⟩αξιοῦσαν. διὸ δὴ αὖθις ἐς τὴν Ἔφεσον ἀφικό-
μενος καὶ ἀποθριξάμενος ἧπερ εἴθισται ἐνέγραψεν εἰς
38 τοὺς μοναχοὺς καλουμένους αὐτόν. τότε δὴ κατ' ἄκρας 5
B 18 ἐμάνη καὶ τὴν ἐσθῆτα ξὺν τῇ διαίτῃ ἐς τρόπον μετα-
βαλοῦσα τὸν πένθιμον περιήει συχνὰ κατὰ τὴν οἰκίαν
κωκύουσα, ὀλολυγῇ τε κεχρημένη ὠλοφύρετο οὐκ ἀπο-
λελειμμένου τἀνδρὸς, ὁποῖον αὐτῇ ἀγαθὸν ὠλώλει, ὡς
πιστὸν, ὡς εὔχαριν, ὡς εὐνοϊκὸν, ὡς δραστήριον. 10
39 τελευτῶσα δὲ καὶ τὸν ἄνδρα ἐς ταύτας δὴ ἐπαγαγο-
μένη τὰς ὀλοφύρσεις ἐκάθισεν. ἔκλαε γοῦν ὁ ταλαίπω-
40 ρος τὸν ποθεινὸν ἀνακαλῶν Θεοδόσιον. ὕστερον δὲ
καὶ εἰς βασιλέα ἐλθὼν, αὐτόν τε καὶ τὴν βασιλίδα
ἱκετεύων, ἀνέπεισε Θεοδόσιον μεταπέμψασθαι ἅτε ἀναγ- 15
καῖον αὐτῷ κατὰ τὴν οἰκίαν ὄντα τε καὶ ἐσόμενον.
41 ἀλλὰ Θεοδόσιος ἀπεῖπε μηδαμῇ ἐνθένδε ἰέναι, ὡς
ἀσφαλέστατα ἐμπεδώσειν ἰσχυρισάμενος τὸ τῶν μοναχῶν
42 ἐπιτήδευμα. ἦν δὲ ἄρα ὁ λόγος κατάπλαστος, ὅπως
ἐπειδὰν τάχιστα Βελισάριος ἐκ Βυζαντίου ἀποδημοίη, 20
αὐτὸς παρὰ τὴν Ἀντωνίναν ἀφίκηται λάθρα. ὅπερ
οὖν καὶ ἐγένετο.

P 6 β'. Αὐτίκα γὰρ Βελισάριος μὲν ὡς Χοσρόῃ πολε-
μήσων ξὺν τῷ Φωτίῳ ἐστέλλετο, Ἀντωνίνα δὲ αὐτοῦ
2 ἔμεινεν, οὐκ εἰωθὸς αὐτῇ πρότερον τοῦτό γε. τοῦ 25
γὰρ μὴ κατὰ μόνας τὸν ἄνθρωπον καθιστάμενον ἐν

---

1 κεκρυμμένως G] ἐγκεκρυμμένως S ‖ 3 ⟨ἀπ⟩αξιοῦσαν Alem.] ἀξιοῦσαν codd. ‖ 4 καὶ G] om. S | ἐνέγραψεν G] ἐσέγραψεν S ‖ 8–9 οὐκ ἀπολελειμμένου codd.] οὐκ ἀπολελειμμένη Reiske, malim οὐκ ἀπολομένου ‖ 12 ἔκλαε S] ἔκαμε G ‖ 13 δὲ g] om. GS ‖ 14 βασιλέα G] βασιλέως S ‖ 24 ξὺν G] σὺν superscr. ξ S

αὐτῷ τε γενέσθαι καὶ τῶν ἐκείνης μαγγανευμάτων
ὀλιγωροῦντα φρονῆσαί τι ἀμφ' αὐτῇ τῶν δεόντων,
πανταχόσε τῆς γῆς ξὺν αὐτῷ στέλλεσθαι ἐπιμελές οἱ
ἐγίνετο. ὅπως δὲ καὶ αὖθις Θεοδοσίῳ παρὰ Ἀντω- 3
5 νίναν ἐσιτητὰ εἴη, Φώτιον ἐκποδὼν οἱ γενέσθαι ἐν
σπουδῇ ἐποιεῖτο. πείθει τοίνυν τῶν Βελισαρίῳ ἑπο- 4 B 19
μένων τινὰς ἐρεσχελεῖν τε αὐτὸν ἐς ἀεὶ καὶ προπη-
λακίζειν, οὐδένα ἀνιέντας καιρόν· αὐτή τε [γὰρ] γρά- □
φουσα ἐς ἡμέραν σχεδόν τι ἑκάστην διέβαλλέ τε
10 διηνεκὲς καὶ ἐπὶ τῷ παιδὶ πάντα ἐκίνει. οἷς δὴ ὁ 5
νεανίας ἀναγκασθεὶς διαβόλως ἔγνω τῇ μητρὶ χρῆσθαι,
ἥκοντά τέ τινα ἐκ Βυζαντίου, ὃς δὴ ἀπήγγελλε Θεο-
δόσιον λάθρα ξὺν Ἀντωνίνῃ διατριβὴν ἔχειν, παρὰ
Βελισάριον εὐθὺς εἰσάγει, φράζειν ἐπιστείλας τὸν
15 πάντα λόγον. ἅπερ ἐπεὶ ὁ Βελισάριος ἔγνω, ὀξυθυ- 6
μωθεὶς ὑπερφυῶς [ὡς] παρὰ τοὺς Φωτίου πόδας ἐπὶ □
στόμα πίπτει, καὶ αὐτοῦ ἐδεῖτο τιμωρεῖν οἱ αὐτῷ
πάσχοντι ὑφ' ὧν ἥκιστα χρῆν ἀνόσια ἔργα „Ὦ παῖ"
λέγων „γλυκύτατε, πατέρα μὲν τὸν σὸν ὅστις ποτὲ ἦν
20 „οὐδαμῇ οἶσθα, ἐπεί σε ὑπὸ τιτθοῦ τρεφόμενον ἔτι
„καταλιπὼν ξυνεμετρήσατο τὸν ἑαυτοῦ βίον. οὐ μὴν
„οὐδέ του τῶν αὐτοῦ ὤνησαι. ἦν γὰρ τὰ ἐς τὴν οὐ- □
„σίαν οὐ λίαν εὐδαίμων. ὑπ' ἐμοὶ δὲ καίπερ ὄντι 7
„πατρῴῳ τραφείς, τήν τε ἡλικίαν τηλικόσδε εἶ, ὡς

---

1 αὐτῷ g] αὐτῶ GS ‖ 4 παρὰ G] ἐς S ‖ 5 εἰσιτητὰ S ‖ 6 σπουδῇ S] βουλῇ G ‖ 7 ἐρεσχελεῖν G in marg., S] ἐρεσχεῖν G in contextu ‖ 8 αὐτή τε Reiske] αὐτή τε γὰρ codd. ‖ 12 ὃς] ὡς in marg. G | ἀπήγγελλε g in marg.] ἀπαγγέλλεσθαι GS, g in contextu ‖ 13 λάθρα S] om. G ‖ 14 ἐπιστείλας] ἐπιτείλας Alem. ‖ 15—16 ὀξυθυμωθεὶς Herw.] ὀξὺ θυμωθεὶς codd. ‖ 16 παρὰ τοὺς Alem.] ὡς παρὰ τοῦ GS ‖ 17 οἱ S] om. G ‖ 24 τηλικόσδε Dind.] τηλικοῦτος δὲ GS | εἶ S] ἢ G

„σὸν εἶναι ἀμύνειν ἀδικουμένῳ μοι ἐς τὰ μάλιστα, ἔς
„τε ὑπάτων ἀξίωμα ἥκεις καὶ πλούτου περιβέβλησαι
„τοσόνδε χρῆμα, ὥστε πατήρ τε καὶ μήτηρ καὶ τὸ
„ξυγγενὲς ἅπαν ἔγωγε καλοίμην ἄν, ὦ γενναῖε, καὶ
8 *„εἴην δικαίως. οὐχ αἵματι γάρ, ἀλλὰ τοῖς ἔργοις* 5
„εἰώθασι δῆτα σταθμᾶσθαι τὴν ἐς ἀλλήλους στοργὴν
9 B 20 *„ἄνθρωποι. ὥρα σοι τοίνυν μὴ περιιδεῖν ἐμὲ μὲν*
„πρὸς τῇ τῆς οἰκίας διαφθορᾷ καὶ χρημάτων ἐστερη-
„μένον τοσούτων τὸ πλῆθος, τὴν δὲ μητέρα τὴν σὴν
„αἶσχος ἀναδουμένην οὕτω δὴ μέγα πρὸς πάντων 10
10 *„ἀνθρώπων. ἐνθυμοῦ τε ὡς αἱ τῶν γυναικῶν ἁμαρ-*
„τάδες οὐκ ἐπὶ τοὺς ἄνδρας ἵενται μόνον, ἀλλὰ καὶ
„παίδων ἅπτονται μᾶλλον, οὕς γε καὶ δόξαν τινὰ
„φέρεσθαι ἐκ τοῦ ἐπὶ πλεῖστον συμβήσεται, ὡς φύσει
11 *„τὸν τρόπον ταῖς γειναμέναις ἐοίκασιν. οὑτωσί τε* 15
P 7 *„λογίζου περὶ ἐμοῦ, ὡς ἐγὼ τὴν γυναῖκα τὴν ἐμαυτοῦ*
„πάνυ μὲν φιλῶ, καὶ ἤν μοι τίσασθαι τὸν διαφθορέα
„τῆς οἰκίας ἐξῇ, οὐδὲν αὐτὴν ἐργάσομαι φαῦλον,
„περιόντος δὲ Θεοδοσίου ταύτῃ τὸ ἔγκλημα ἐπιχωρεῖν
„οὐκ ἂν δυναίμην.“ 20
12 *Ταῦτα ἀκούσας ὁ Φώτιος ὑπηρετήσειν μὲν ὠμο-*

5—7 *οὐ ῥήμασιν, ἀλλ' ἔργοις ἀεὶ εἰώθασι τὴν ἐς ἀλλήλους σταθμᾶσθαι στοργὴν οἱ ἄνθρωποι* Suid. s. v. *σταθμᾶσθαι* || 7—9 *ὥρα—πλῆθος*] cit. Suid. s. v. *ὥρα* || 10—11 *αἶσχος—ἀνθρώπων*] cit. Suid. s. v. *ἀναδούμενος* || 11—15 *αἱ—ἐοίκασιν*] cit. Suid. s. v. *ἁμαρτάδας*

---

5 *αἵματι g*] *ἅμα. τί GS*, *ῥήμασιν* Suid. || 7 *τοίνυν*] om. Suid. || 9 *τοσούτων τὸ πλῆθος S*] *πλῆθος τοσούτων G*, *τοσοῦτον πλῆθος* Suid. || 10 *δὴ* codd.] om. Suid. | *πρὸς* codd. || 11–12 *ἁμαρτάδες S* et Suid.] *ἁρματάδες G* || 12 *ἄνδρας*] */νδρ// G* || 14 *ξυμβήσεται S* || 15 *τὸν τρόπον*] *τρόπου* Suid. || 16 *ἐμοῦ*] *ἡμῶν* superscr. *οῦ S* || 17 *διαφορέα S* || 18 *ἐξῇ* Reiske] *ἐξῆν* codd.

λόγει ἐς ἅπαντα, δεδιέναι δὲ μή τι λάβοι ἐνθένδε □
κακὸν, τὸ θαρσεῖν ἐπὶ τῷ ἀβεβαίῳ τῆς Βελισαρίου
γνώμης τά γε ἐς τὴν γυναῖκα οὐ σφόδρα ἔχων· ἄλλα
τε γὰρ αὐτὸν πολλὰ καὶ τὸ Μακεδονίας δυσωπεῖν
5 πάθος. διὸ δὴ ἄμφω ἅπαντας ἀλλήλοιν ὠμοσάτην 13
ὅσοι δὴ ἐν Χριστιανοῖς δεινότατοι ὅρκοι εἰσί τε καὶ
ὀνομάζονται, μήποτε ἀλλήλω καταπροήσεσθαι ἄχρι τῶν □
ἐς τὸν ὄλεθρον φερόντων κινδύνων. ἐν μὲν οὖν τῷ 14
παρόντι τῷ ἔργῳ ἐγχειρεῖν ἔδοξε σφίσιν ἀξύμφορον
10 εἶναι, ὁπηνίκα δὲ Ἀντωνίνα ἐκ Βυζαντίου ἀφίκηται, B 21
ἐς δὲ τὴν Ἔφεσον Θεοδόσιος ἴοι, τηνικάδε τοῦ χρόνου
Φώτιον ἐν τῇ Ἐφέσῳ γενόμενον Θεοδόσιόν τε καὶ τὰ
χρήματα οὐδενὶ πόνῳ χειρώσασθαι. τότε μὲν οὖν 15 □
αὐτοί τε τὴν ἐσβολὴν παντὶ τῷ στρατῷ ἐς τὴν Περ-
15 σίδα πεποίηνται χώραν, ἀμφί τε Ἰωάννῃ τῷ Καππα-
δόκῃ ἐν Βυζαντίῳ ξυνηνέχθη γενέσθαι ἅπερ μοι ἐν
τοῖς ἔμπροσθεν λόγοις δεδήλωται. ἔνθα δὴ τοῦτό μοι 16
τῷ δέει σεσιώπηται μόνον, ὅτι γε οὐκ εἰκῇ τόν τε
Ἰωάννην καὶ τὴν αὐτοῦ παῖδα ἡ Ἀντωνίνα ἐξηπατήκει,
20 ἀλλ' ὅρκων αὐτοὺς πλήθει, ὧνπερ οὐδὲν φοβερώτερον
ἔν γε Χριστιανοῖς εἶναι δοκεῖ, πιστωσαμένη, μηδεμιᾷ
δολερᾷ γνώμῃ ἐς αὐτοὺς χρῆσθαι. ταῦτά τε διαπε- 17
πραγμένη καὶ πολλῷ ἔτι μᾶλλον ἐπὶ τῇ τῆς βασιλίδος

5—8 διὸ — κινδύνων] cit. Suid. s. v. δεινοί ‖ 5—8 ὠμοσάτην — κινδύνων] ὠμοσάτην οσοι δεινότατοι Χριστιανοῖς ὅρκοι ὀνομάζονται κτλ. Suid. s. v. καταπροήσεται ‖ 17 cf. I 136, 13

---

1 λάβοι G] λάβῃ S | ἐνθέδε G ‖ 5 δὴ codd.] om. Suid. | ἅπαντας G] om. S | ἀλλήλοιν Suid.] ἀλλήλοις codd. ‖ 6 ὅσοι G, S pr. m. corr., ὅσα S pr. m. ‖ 7 ἀλλήλω Kraš.] ἀλλήλων codd. ‖ 11 ἴοι S, ἴῃ Wahler ‖ 12 γινόμενον S ‖ 13 χειρώσεσθαι? ‖ 18 τόν τε Reiske] τόν γε codd. ‖ 19 τὴν Alem. et a] τὸν GS ‖ 22 χρήσεσθαι Herw. ‖ 22—23 διαπεπραμένη G

θαρροῦσα φιλίᾳ Θεοδόσιον μὲν ἐς Ἔφεσον στέλλει, αὐτὴ δὲ μηδὲν ὑποτοπάζουσα ἐναντίωμα ἐπὶ τὴν ἕω
18 *κομίζεται. ἄρτι δὲ Βελισαρίῳ τὸ Σισαυράνων φρούριον ἑλόντι ὁδῷ ἰοῦσα πρός του ἀγγέλλεται. καὶ ὃς τἄλλα πάντα ἐν οὐδενὶ λόγῳ πεποιημένος ὀπίσω ὑπῆγε* 5
19 *τὸ στράτευμα. ξυνηνέχθη γάρ, ἧπέρ μοι τὰ πρότερα δεδιήγηται, καὶ ἕτερα ἄττα ἐν τῷ στρατοπέδῳ γενέσθαι, ἅπερ αὐτὸν ἐς τὴν ἀναχώρησιν ὥρμα. τοῦτο*
20 *μέντοι πολλῷ ἔτι θᾶσσον ἐνταῦθα ἀνῆγεν. ἀλλ' ὅπερ τοῦδε τοῦ λόγου ἀρχόμενος εἶπον, οὔ μοι ἀκίνδυνον* 10
B 22 *τηνικάδε τοῦ χρόνου ἔδοξεν εἶναι τὰς αἰτίας τῶν πε-*
21 *πραγμένων ἁπάσας εἰπεῖν. ἔγκλημά τε ἀπ' αὐτοῦ ἐγένετο Βελισαρίῳ πρὸς πάντων Ῥωμαίων, ὅτι δὴ τῆς πολιτείας τὰ καιριώτατα αὐτὸς περὶ ἐλάσσονος πραγ-*
22 *μάτων τῶν κατὰ τὴν οἰκίαν πεποίηται. ἀρχὴν μὲν* 15
γὰρ τῷ τῆς γυναικὸς πάθει ἐχόμενος, ὡς ἀπωτάτω γενέσθαι τῆς γῆς Ῥωμαίων οὐδαμῆ ἤθελεν, ὅπως ἐπειδὰν τάχιστα πύθηται τὴν γυναῖκα ἐκ Βυζαντίου ἥκειν, ἀναστρέψας αὐτίκα δὴ μάλα καταλαβεῖν τε καὶ τί-
23 *σασθαι οἷός τε εἴη. διὸ δὴ τοὺς μὲν ἀμφὶ Ἀρέθαν* 20
Τίγριν ποταμὸν διαβαίνειν ἐκέλευσεν, οἵ γε οὐδὲν ὅ τι καὶ λόγου ἄξιον διαπεπραγμένοι ἐπ' οἴκου ἀπεκομίσθησαν, αὐτὸς δὲ οὐδὲ ἡμέρας ὁδῷ ἀπολελεῖφθαι
24 P 8 *ὅρων τῶν Ῥωμαίων ἐν σπουδῇ εἶχε. φρούριον γὰρ*

7 cf. I 235, 10 || 20 cf. I 233, 21

1 *θαρροῦσα φιλίᾳ* G] *φιλίᾳ θαρροῦσα* S || 2 *ὑποτοπάσασα* S || 3 *δὲ* G] om. S | *Σισαυράνων* Dind.] *ἰσαυρανῶν* hic et infra codd. || 4 *ἀγγέλλεται* S] *ἀνέλλεται καὶ κομίζεται ἄρτι βελισ///ω τὸ ἰσαυρανῶν φρούριον ἑλόντι* G || 9 *ὅπερ* S] *ὅπερ μοι* G || 17 *γῆς* G] om. S || 17—18 *ἐπειδὰν* Alem.] *εἰδ' ἂν* codd. || 23 *ἡμέρας* scripsi] *ὥρας* codd.

τὸ Σισαυράνων διὰ μὲν πόλεως Νισίβιδος ἰόντι πλέον
ἢ ὁδῷ ἡμέρας εὐζώνῳ ἀνδρὶ τῶν Ῥωμαϊκῶν ὁρίων
διέχει, ἑτέρωθι δὲ τούτου δὴ τοῦ μέτρου ξυμβαίνει
τὸ μεταξὺ εἶναι. καίτοι εἰ παντὶ τῷ στρατῷ Τίγριν 25
5 ποταμὸν διαβῆναι κατ' ἀρχὰς ἤθελεν, οἶμαι ἂν αὐτὸν
ξύμπαντα ληΐσασθαι τὰ ἐπὶ Ἀσσυρίας χωρία, καὶ μέχρι
ἐς Κτησιφῶντα πόλιν οὐδενὸς τὸ παράπαν ἀντιστατοῦντος
σφίσιν ἀφῖχθαι, καὶ τούς τε Ἀντιοχέων αἰχμαλώτους,
ὅσοι τε Ῥωμαίων ἄλλοι ἐνταῦθα ὄντες ἐτύγ-
10 χανον, διασωσάμενον ἐπανήκειν ἐς τὰ πάτρια ἤθη.
ἔπειτα δὲ καὶ Χοσρόῃ αἰτιώτατος γέγονεν ἀδεέστερον
ἐπ' οἴκου ἀποκομίζεσθαι ἐκ τῆς Κολχίδος. ὅντινα δὲ
τρόπον τετύχηκε τοῦτο αὐτίκα δηλώσω.

Ἡνίκα Χοσρόης ὁ Καβάδου εἰς γῆν ἐμβαλὼν τὴν 26 B23
15 Κολχίδα τά τε ἄλλα διεπράξατο, ἅπερ μοι ἔμπροσθεν
δεδιήγηται, καὶ Πέτραν εἷλε, πολλοὺς τοῦ Μήδων
στρατοῦ διεφθάρθαι ξυνέβη τῷ τε πολέμῳ καὶ ταῖς
δυσχωρίαις. δύσοδός τε γάρ, ὥσπερ μοι εἴρηται, ἡ
Λαζική ἐστι καὶ ὅλως κρημνώδης. καὶ μὴν καὶ λοιμοῦ 27
20 ἐπιπεσόντος σφίσι τὸ πλεῖστον τοῦ στρατοῦ ἀπολωλέναι
ξυνέπεσε, πολλοὺς δὲ αὐτῶν καὶ τῶν ἀναγκαίων
τῇ ἀπορίᾳ διεφθάρθαι ξυνέβη. ἐν τούτῳ δὲ καί τινες 28
ἐκ γῆς τῆς Περσίδος ἐνταῦθα ἐπιχωριάζοντες ἤγγελλον
ὡς Ναβέδην μὲν Βελισάριος ἀμφὶ πόλιν Νίσιβιν μάχῃ

16 cf. I 224, 12 ss. 238, 3 ‖ 18 cf. I 293, 12

2 ἀνδρὶ εὐζώνῳ S | ὁρίων G] ὅρων S ‖ 3 διέχει G, S pr. m. corr.] ἀπέχει S pr. m. ‖ 4 μεταξὺ codd.] ἥμισυ Alem. ‖ 5 ἂν S] om. G ‖ 6 Ἀσσυρίας] ἀσυρίας G, συρίας S | μέχρις S ‖ 7 πόλιν G] om. S ‖ 12 κολχίδος G in marg., S] κοχλίδος G in contextu ‖ 13 δηλώσω S] δηλώσαιμι G ‖ 14 ἐς S | ἐμβαλὼν G] ἐσβαλὼν S ‖ 15 κοχλίδα G ‖ 18 δύσοδός] δο in litura in G | ὥσπερ] σπε in litura in G ‖ 19 λοιμοῦ G] λιμοῦ S

νικήσας πρόσω χωροίη, πολιορκίᾳ δὲ τὸ Σισαυράνων
ἑλὼν φρούριον Βλησχάμην τε καὶ Περσῶν ἱππεῖς
ὀκτακοσίους δορυαλώτους πεποίηται, στράτευμα δὲ
ἄλλο Ῥωμαίων ξύν γε Ἀρέθᾳ τῷ Σαρακηνῶν ἄρχοντι
πέμψειεν, ὅπερ διαβὰν ποταμὸν Τίγριν ξύμπαντα 5
λεηλατήσειε τὰ ἐκείνῃ χωρία, πρότερον ἀδῄωτα ὄντα.
29 ἐτύγχανε δὲ καὶ στράτευμα Οὔννων ἐπὶ Ἀρμενίους
τοὺς Ῥωμαίων κατηκόους ὁ Χοσρόης στείλας, ὅπως τῇ
ἐς αὐτοὺς ἀσχολίᾳ μηδεμία τοῖς ταύτῃ Ῥωμαίοις τῶν
30 ἐν Λαζικῇ πρασσομένων αἴσθησις γένηται. τούτους 10
τε τοὺς βαρβάρους ἀπήγγελλον ἕτεροι Βαλεριανῷ καὶ
Ῥωμαίοις ὑπαντιάσασιν ἐς χεῖρας ἐλθόντας παρά τε πολὺ
αὐτῶν ἡσσηθέντας τῇ μάχῃ ἐκ τοῦ ἐπὶ πλεῖστον ἀπο-
31 λωλέναι. ἅπερ οἱ Πέρσαι ἀκούσαντες καὶ κακοπαθείᾳ
μὲν τῇ ἐν Λαζοῖς κεκακωμένοι, δεδιότες δὲ μή τινι ἐν 15
B 24 τῇ ἀποπορείᾳ ἐντυχόντες πολεμίων στρατῷ ἐν κρημ-
νοῖς καὶ χωρίοις λοχμώδεσιν ἅπαντες οὐδενὶ κόσμῳ
διαφθαρεῖεν, περιδεεῖς ἀμφί τε παισὶ καὶ γυναιξὶ
□ καὶ τῇ πατρίδι γεγενημένοι, εἴ τι καθαρὸν ἦν ἐν τῷ
Μήδων στρατῷ, Χοσρόῃ ἐλοιδοροῦντο ἐπικαλοῦντες 20
ὡς ἔς τε τοὺς ὅρκους ἠσεβηκὼς καὶ τὰ κοινὰ νόμιμα
πάντων ἀνθρώπων ἐσβάλοι μὲν ἐν σπονδαῖς ἐς Ῥω-
□ μαίων τὴν γῆν οὐδὲν προσῆκον, ἀδικοίη δὲ πολιτείαν
P 9 ἀρχαίαν τε καὶ ἀξιωτάτην πασῶν μάλιστα, ἧς τῷ πολέμῳ

---

15 cf. II 516, 14

---

2 μλησχάμην G ‖ 6 λεηλατήσειε S] λεηλατήσει G ‖ 11 βαλλεριανῷ S ‖ 15 λαζοῖς G] λαζικοῖς S ‖ 16 ἀποπορείᾳ Dind.] ἀπορία codd. ‖ 17 οὐδενὶ S] ἐν οὐδενὶ G ‖ 18 διαφθαρεῖεν S] διαφθαροῖεν G ‖ 19 γεγενημένοι S] γεγενημένη G | εἴ τι a] ἔτι GS ‖ 23 οὐδὲν Piccolos] οὐδενὶ codd., οὐδέν οἱ Kraš. ‖ 24 ἧς G] ἧς τε S

περιεῖναι οὐκ ἂν δύναιτο· ἔμελλον δὲ νεωτέροις ἐγχει-
ρεῖν πράγμασιν. οἷς δὴ ὁ Χοσρόης ξυνταραχθεὶς εὕ- 32
ρετο τοῦ κακοῦ ἴασιν τήνδε. γράμματα γὰρ αὐτοῖς
ἀνελέξατο, ἅπερ ἔναγχος ἡ βασιλὶς τῷ Ζαβεργάνῃ
5 *ἐτύγχανε γράψασα. ἐδήλου δὲ ἡ γραφὴ τάδε „Ὅπως* 33
„σε, ὦ Ζαβεργάνη, διὰ σπουδῆς ἔχω, εὔνουν σε οἰο-
„μένη τοῖς ἡμετέροις πράγμασιν εἶναι, οἶσθα ἐπὶ πρεσ-
„βείᾳ οὐ πολλῷ πρότερον ἐς ἡμᾶς ἀφιγμένος. οὐκοῦν 34
„πράττοις ἂν εἰκότα τῇ δόξῃ, ἣν ἐπὶ σοὶ ἔχω, εἴ γε
10 *„βασιλέα Χοσρόην εἰρηναῖα πείθοις ἐς πολιτείαν τὴν*
„ἡμετέραν βουλεύεσθαι. οὕτω γάρ σοι ἀγαθὰ μεγάλα 35
„πρὸς ἀνδρὸς ἀναδέχομαι τοὐμοῦ ἔσεσθαι, ὅς γε οὐδὲν
„ἂν ὅ τι καὶ ἄνευ γνώμης τῆς ἐμῆς πράξειεν.“ ταῦτα 36
ὁ Χοσρόης ἀναλεξάμενος, ὀνειδίσας τε Περσῶν τοῖς
15 *λογίμοις εἰ πολιτείαν οἴονται εἶναι, ἣν γυνὴ διοικεῖται,*
τὴν τῶν ἀνδρῶν ὁρμὴν ἀναστέλλειν ἔσχεν. ἀλλὰ καὶ 37
ὣς ξὺν δέει πολλῷ ἐνθένδε ἀπῄει, τοὺς ἀμφὶ Βελισά- B 25
ριον οἰόμενος σφίσιν ἐμποδὼν στήσεσθαι. οὐδενὸς
δέ οἱ τῶν πολεμίων ὑπαντιάσαντος ἄσμενος ἐς γῆν
20 *τὴν οἰκείαν ἀπεκομίσθη.*

γ'. Γενόμενος δὲ ὁ Βελισάριος ἐς γῆν τὴν Ῥωμαίων
εὑρίσκει τὴν γυναῖκα ἐκ Βυζαντίου ἀφικομένην. καὶ
αὐτὴν μὲν ἐν ἀτιμίᾳ ἐφύλασσε, πολλάκις τε διαχειρί-
σασθαι αὐτὴν ἐγχειρήσας ἐμαλθακίσθη, ἐμοὶ μὲν δοκεῖ,
25 *ἔρωτος ἡσσηθεὶς διαπύρου τινός. φασὶ δὲ αὐτὸν καὶ* 2
μαγγανείαις πρὸς τῆς γυναικὸς καταλαμβανόμενον ἐν

---

9 *εἰκότα τῇ*] *τα τῇ* in litura in *G* | *ἐπὶ G*] *ἀμφὶ S* ‖ 11 *βου-λεύεσθαι S*] *βούλεσθαι G* ‖ 12 *ἀναδέχομι G* ‖ 13 *ὅ τι καὶ* ⟨*λόγου ἄξιον*⟩ Piccolos | *πράξειε S* ‖ 15 *λογίμοις* Kraš. in appar. crit.] *λο-γίοις* codd., cf. II 516, 17 ‖ 21 *τὴν ag*, Dind.] *τῶν GS* ‖ 26 *ἐγ-καταλαμβανόμενον S*

τῷ παραυτίκα ἐκλύεσθαι. Φώτιος δὲ κατὰ τάχος ἐς τὴν Ἔφεσον στέλλεται, τῶν τινα εὐνούχων, Καλλίγονον ὄνομα, προαγωγὸν τῆς κεκτημένης ὄντα δεσμεύσας τε καὶ ξὺν αὐτῷ ἔχων, ὅσπερ αὐτῷ αἰκιζόμενος ἐν τῇ 3 ὁδῷ ταύτῃ ἅπαντα ἐξήνεγκε τὰ ἀπόρρητα. καὶ Θεοδόσιος μὲν προμαθὼν ἐς τὸ ἱερὸν Ἰωάννου καταφεύγει τοῦ ἀποστόλου, ὅπερ ἐνταῦθα ἁγιώτατόν ἐστι καὶ ἐπι- 4 εικῶς ἔντιμον. Ἀνδρέας δὲ ὁ τῆς Ἐφέσου ἀρχιερεὺς χρήμασίν οἱ ἀναπεισθεὶς τὸν ἄνθρωπον ἐνεχείρισεν. ἐν τούτῳ ἡ Θεοδώρα ἀμφὶ τῇ Ἀντωνίνῃ δειμαίνουσα, ἠκηκόει γὰρ ὅσα δὴ αὐτῇ ξυνεπεπτώκει, Βελισάριον ξὺν 5 αὐτῇ ἐς Βυζάντιον μεταπέμπεται. Φώτιος δὲ ταῦτα ἀκούσας Θεοδόσιον μὲν ἐς Κίλικας πέμπει, οὗ δὴ οἱ δορυφόροι τε καὶ ὑπασπισταὶ διαχειμάζοντες ἔτυχον, τοῖς παραπομποῖς ἐπιστείλας λαθραιότατα μὲν τὸν ἄνδρα τοῦτον διακομίζειν, ἐς Κίλικας δὲ ἀφικομένοις κεκρυμμένως ἐς τὰ μάλιστα ἐν φυλακῇ ἔχειν, μηδενὶ αἴσθησιν παρεχομένοις ὅποι γῆς εἴη. αὐτὸς δὲ ξύν τε Καλλιγόνῳ καὶ τοῖς Θεοδοσίου χρήμασιν ἁδροῖς τισιν 6 οὖσιν ἐς Βυζάντιον ἦλθεν. ἐνταῦθα ἡ βασιλὶς ἐπίδειξιν πεποίηται ἐς πάντας ἀνθρώπους, ὅτι δὴ χάριτας φονίους εἰδείη μείζοσί τε καὶ μιαρωτέροις ἀμείβεσθαι 7 δώροις. Ἀντωνίνα μὲν γὰρ ἕνα οἱ ἔναγχος τὸν Καππαδόκην ἐχθρὸν ἐνεδρεύσασα προὔδωκεν, αὐτὴ δὲ πλῆθος ἐκείνῃ ἐγχειρίσασα ἀνδρῶν ἀνεγκλήτων ἀνῄρηκε.

1 ἐκλύεσθαι codd.] ἐκλελύσθαι Reiske | κατὰ τάχος Reiske] κάτοικος G, κάτοχος S || 2 εὐνοῦχον G | καλίγονον G || 4 αὐτῷ Alem.] αὐτῶ codd. || 7—8 ἁγιώτατόν τε ἐπιεικῶς καὶ ἔντιμόν ἐστιν G || 11 συνεπεπτώκει S | βελισάριος G || 15 παραπομποῖς Kraš.] παραπύμποις codd. | ἐπιτείλας Alem. || 15—16 ἄνδρα τοῦτον G] ἀνδρέα S || 16 ἀφικομένοις Kraš.] ἀφικομένους codd. || 16—17 κεκρυμμένως om. G || 19 καλιγόνω G || 23 ἕνα Reiske] ἔνθα codd. || 25 ἐγχειρήσασα S | ἀνεγκλήτως] ἐγκ in litura in G

τῶν γὰρ Βελισαρίῳ καὶ Φωτίῳ ἐπιτηδείων τινῶν μὲν 8
τὰ σώματα αἰκισαμένη, καὶ τοῦτο μόνον ἐπικαλέσασα,
ὅτι ἐς τὼ ἄνδρε τούτω εὐνοϊκῶς ἔχοιεν, οὕτω διέθετο
ὥστε αὐτοῖς ἐς ὅ τί ποτε ἡ τύχη ἐτελεύτα οὔπω νῦν
5 *ἴσμεν· ἄλλους δὲ φυγῇ ἐζημίωσε, ταὐτὸ τοῦτο ἐπενεγ-*
κοῦσα. ἕνα μέντοι τῶν Φωτίῳ ἐς τὴν Ἔφεσον ἐπι- 9
σπομένων, Θεοδόσιον ὄνομα, καίπερ ἐς ἀξίωμα βουλῆς
ἥκοντα, τὴν οὐσίαν ἀφελομένη ἐν δωματίῳ καταγείῳ
τε καὶ ὅλως ζοφώδει ἔστησεν ἐπὶ φάτνης τινὸς βρόχον
10 *οἱ τοῦ τραχήλου ἀναψαμένη ἐς τοσόνδε βραχὺν, ὥστε*
αὐτῷ δὴ ἐντετάσθαι καὶ χαλαρὸν μηδαμῇ εἶναι. ἑστη- 10 □
κὼς ἀμέλει διηνεκὲς ἐπὶ ταύτης δὴ τῆς φάτνης ὁ τάλας
ἤσθιέ τε καὶ ὕπνον ᾑρεῖτο, καὶ τὰς ἄλλας ἤνυεν ἁπά-
σας τῆς φύσεως χρείας, ἄλλο τέ οἱ οὐδὲν ἐς τὸ τοῖς B 27
15 *ὄνοις εἰκάζεσθαι ὅτι μὴ βρωμᾶσθαι ἐλέλειπτο. χρόνος* 11
δὲ τῷ ἀνθρώπῳ οὐχ ἥσσων ἢ μηνῶν τεσσάρων ἐν
ταύτῃ τῇ διαίτῃ ἐτρίβη, ἕως μελαγχολίας νόσῳ ἁλοὺς
μανείς τε ἐκτόπως καὶ οὕτω δὴ ταύτης τῆς εἱρκτῆς
ἀφεθεὶς εἶτα ἀπέθανε. καὶ Βελισάριον οὔτι ἑκούσιον 12
20 *Ἀντωνίνῃ τῇ γυναικὶ καταλλαγῆναι ἠνάγκασε. Φώτιον*
δὲ αἰκισμοῖς τε ἄλλοις ἀνδραποδώδεσι περιβαλοῦσα
καὶ ξάνασα κατά τε τοῦ νώτου καὶ τῶν ὤμων πολλάς,
ἐκλέγειν ἐκέλευεν ὅποι ποτὲ γῆς Θεοδόσιός τε καὶ ὁ
προαγωγὸς εἴη. ὁ δὲ καίπερ ὑπὸ τῆς βασάνου κατα- 13
25 *τεινόμενος τὰ ὀμωμοσμένα ἐμπεδοῦν ἔγνω, ἀνὴρ νοσώ-*
δης μὲν καὶ ἀνειμένος γεγονὼς πρότερον, ἐς δὲ τὴν

---

2 *τὰ* evanuit in *G* ‖ 6—7 *ἐπισκωμένων G* ‖ 7 *βουλῆς S*] *τιμῆς G* ‖ 10 *τοῦ*] malim ⟨*ἐκ*⟩ *τοῦ* | *εἰς G* ‖ 11 *αὐτῶ δὴ G*] *αὐτῶ μὴ S*, *αὐτὸν ἀεὶ* Reiske ‖ 16 *ἥσσων*] *ἧσσον G* corr. ‖ 18 *δὴ ταύτης G*] *ταύτης δὴ S* ‖ 19 *ἀπέθανεν G* ‖ 21 *ἀνδραπωδώδεσι S* ‖ 22 *τοῦ νώτου καὶ τῶν ὤμων S*] *τῶν νόμων καὶ τοῦ νότου G* 25 *ὁμωσμένα G*

ἀμφὶ τὸ σῶμα θεραπείαν ἐσπουδακώς, ὕβρεώς τε γενό-
14 μενος ἢ ταλαιπωρίας τινὸς ἄπειρος. οὐδὲν γοῦν αὐτὸς
τῶν Βελισαρίου κεκρυμμένων ἐξεῖπεν. ὕστερον μέν-
15 τοι ἅπαντα τὰ τέως ἀπόρρητα ἐς φῶς ἐληλούθει. καὶ
□ Καλλίγονον μὲν ἤδ' ἐνταῦθα εὑροῦσα τῇδε παρέδωκε, 5
□ τὸν δὲ ⟨Θεοδόσιον⟩ μετακαλέσασα ἐς Βυζάντιον, ἐπειδὴ
ἀφίκετο, εὐθὺς μὲν κρύπτει ἐν Παλατίῳ, τῇ δὲ ὑστε-
16 ραίᾳ μεταπεμψαμένη Ἀντωνίναν, „Ὦ φιλτάτη πατρικία"
ἔφη „μάργαρον ἐς χεῖρας τὰς ἐμὰς τῇ προτεραίᾳ ἐμ-
„πέπτωκεν, οἷον οὐδείς ποτ' ἀνθρώπων εἶδε. καί σοι 10
„βουλομένῃ οὐκ ἂν φθονήσαιμι τοῦ θεάματος τούτου,
17 P 11 „ἀλλὰ ἐπιδείξω." καὶ ἡ μὲν οὐ ξυνιεῖσα τοῦ πρασσο-
μένου τὸν μάργαρόν οἱ ἐπιδεῖξαι πολλὰ ἐλιπάρει. ἡ
δὲ τὸν Θεοδόσιον ἐξ οἰκιδίου τῶν τινος εὐνούχων
18 B 28 ἐξαγαγοῦσα ἐπέδειξεν. Ἀντωνίνα δὲ τὰ μὲν πρῶτα 15
περιχαρὴς ἄγαν γεγονυῖα ὑφ' ἡδονῆς ἀχανὴς ἔμεινε,
χάριτάς τέ οἱ δεδρακέναι ὡμολόγει πολλάς, σώτειράν
τε καὶ εὐεργέτιν ἀποκαλοῦσα καὶ δέσποιναν ὄντως.
19 τοῦτον δὲ τὸν Θεοδόσιον ἡ βασιλὶς κατασχοῦσα ἐν
Παλατίῳ τρυφῆς τε καὶ τῆς ἄλλης εὐπαθείας ἠξίου, 20
στρατηγόν τε ἠπείλησε Ῥωμαίοις αὐτὸν οὐκ εἰς μακρὰν
□ 20 καταστήσεσθαι. ἀλλά τις προτερήσασα δίκη νόσῳ ἁλόντα
21 δυσεντερίας ἐξ ἀνθρώπων αὐτὸν ἀφανίζει. ἦν δὲ
οἰκίδια τῇ Θεοδώρᾳ ἀπόκρυφα μὲν καὶ ὅλως λεληθότα
ζοφώδη τε καὶ ἀγείτονα, ἔνθα δὴ οὔτε νυκτὸς οὔτε 25
22 ἡμέρας δήλωσις γίνεται. ἐνταῦθα τὸν Φώτιον ἐπὶ
χρόνου μῆκος καθείρξασα ἐτήρει. ὅθεν δὴ αὐτῷ ξυνέβη
τις τύχη οὐχ ἅπαξ μόνον, ἀλλὰ καὶ δὶς διαφυγόντι

---

2 ἄπειρος *g* in contextu] ἔμπειρος *G S*, *g* in marg. ‖ 6 ⟨Θεοδόσιον⟩ addidit Maltr. ‖ 10 ποτ' *G*] πω *S* | εἶδεν *G* ‖ 25 τε] δὲ conic. Kraš.

ἀπαλλαγῆναι. καὶ τὰ μὲν πρῶτα καταφυγὼν εἰς τὸν 23
ναὸν τῆς θεοτόκου, ὅσπερ ἐν Βυζαντίοις ἁγιώτατός
ἐστί τε καὶ ὠνομάσθη, παρὰ τὴν ἱερὰν τράπεζαν ἱκέ-
της καθῆστο. ἐντεῦθέν τε αὐτὸν ἀναστήσασα βίᾳ τῇ
5 πάσῃ καθεῖρξεν αὖθις. τὸ δὲ δὴ δεύτερον ἐς τῆς 24
Σοφίας τὸ ἱερὸν ἥκων, ἐς αὐτήν που τὴν θείαν δεξα-
μενὴν ἐξαπιναίως ἐκάθισεν, ἥνπερ μάλιστα πάντων
νενομίκασι Χριστιανοὶ σέβειν. ἀλλὰ κἀνθένδε ἀφέλ- 25
κειν αὐτὸν ἡ γυνὴ ἴσχυσε. χωρίον γὰρ ἀβέβηλον πώ-
10 ποτε ἀνέφαπτον αὐτῇ οὐδὲν γέγονεν, ἀλλ' αὐτῇ βιά-
ζεσθαι τὰ ἱερὰ ξύμπαντα οὐδὲν πρᾶγμα ἐδόκει εἶναι.
καὶ ξὺν τῷ δήμῳ οἱ τῶν Χριστιανῶν ἱερεῖς καταπεπλη- 26 B 29
γμένοι τῷ δέει ἐξίσταντο καὶ ἐνεχώρουν αὐτῇ ἅπαντα.
τριῶν μὲν οὖν αὐτῷ ἐνιαυτῶν χρόνος ἐν ταύτῃ τῇ 27
15 διαίτῃ ἐτρίβη, ὕστερον δὲ ὁ προφήτης αὐτῷ Ζαχαρίας
ἐπιστὰς ὄναρ ὅρκοις, φασίν, ἐκέλευσε φεύγειν, συλλή-
ψεσθαί οἱ ἐν τῷ ἔργῳ τῷδε ὁμολογήσας. ταύτῃ τε 28
τῇ ὄψει ἀναπεισθεὶς ἀνέστη τε ἐνθένδε καὶ διαλαθὼν
εἰς τὰ Ἱεροσόλυμα ἦλθε, μυρίων μὲν αὐτὸν διερευνω-
20 μένων ἀνθρώπων, οὐδενὸς δὲ τὸν νεανίαν, καίπερ

5—7 ἐς τῆς — ἐκάθισεν] εἰς τὸ ἱερὸν τῆς Σοφίας ἥκων κτλ., et ἀλλὰ κἀνθένδε ἀφέλκειν αὐτὴν ἴσχυσε Suid. s. v. δεξαμενή ‖ 12—13 οἱ-ἅπαντα] οἱ δὲ ἱερεῖς καταπεπληγμένοι τῷ δέει ἐξίσταντο καὶ ἐνεχώρουν αὐτῇ ἅπαντες Suid. s. v. ἐνεχώρουν.

---

1 ἐς S ‖ 2 ὅσπερ ἐν S] ὃς περὶ G ‖ 6 ἥκων G, S pr. m. corr.] οἴκων S pr. m. ‖ 6—7 που ἐξαπιναίως τὴν θείαν ἐκάθισε δεξαμενὴν S ‖ 8 κἀνθένδεν G ‖ 9 ἴσχυσεν G ‖ 9—10 πώποτε G] om. S ‖ 13 ἐνεχώρουν G in marg.] ἀνεχώρουν G in contextu, S ‖ 14—15 ἐν ταύτῃ τῇ διαίτῃ S, G in marg.] om. G in contextu ‖ 16 ἐκέλευσε S] ἐκέλευε G ‖ 16—17 συλλήψεσθαί G corr., S] συλλήψασθαί G pr. m. ‖ 19 αὐτὸν G] αὐτῶ S ‖ 20 δὲ evanuit in G | καίπερ] αί evanuit in G

29 ἐντυχόντα, δρῶντος. οὗ δὴ ἀποθριξάμενός τε καὶ τῶν
□ μοναχῶν καλουμένων τὸ σχῆμα περιβαλλόμενος τὴν ἐκ
30 Θεοδώρας κόλασιν διαφυγεῖν ἔσχε. Βελισάριος δὲ τὰ
ὀμωμοσμένα ἠλογηκώς, τιμωρεῖν τε οὐδαμῇ τούτῳ ἑλό-
μενος πάσχοντι, ὥσπερ ἐρρήθη, ἀνόσια ἔργα, ἐς πάντα 5
οἱ λοιπὸν τὰ ἐπιτηδεύματα πολέμια τὰ πρὸς τοῦ θεοῦ
ὡς τὸ εἰκὸς εὗρεν· εὐθὺς γὰρ ἐπί τε Μήδους καὶ
Χοσρόην σταλεὶς τὸ τρίτον ἐσβαλόντας ἐς Ῥωμαίων
31 τὴν γῆν κακότητα ὦφλε. καίτοι ἐδόκει τι λόγου ἄξιον
διαπεπρᾶχθαι, τὸν πόλεμον ἐνθένδε ἀποσεισάμενος. 10
P 12 ἀλλ' ἐπεὶ Χοσρόης Εὐφράτην διαβὰς ποταμὸν Καλλί-
νικον πόλιν πολυάνθρωπον οὐδενὸς ἀμυνομένου εἷλε
⟨καὶ⟩ μυριάδας ἠνδραπόδισε Ῥωμαίων πολλάς, Βελισά-
ριος δὲ οὐδὲ ὅσον ἐπισπέσθαι τοῖς πολεμίοις ἐν σπουδῇ
ἔσχε, δόξαν ἀπήνεγκεν ὡς δυοῖν θάτερον, ἢ ἐθελοκα- 15
κήσας ἢ ἀποδειλιάσας, αὐτοῦ ἔμεινεν.

B 30 δ'. Ὑπὸ τοῦτον τὸν χρόνον καί τι ἕτερον αὐτῷ
□ ἐπιπεσεῖν ξυνηνέχθη τοιόνδε. ὁ μὲν λοιμός, οὗπερ
ἐν τοῖς ἔμπροσθεν λόγοις ἐμνήσθην, ἐπενέμετο τοὺς
ἐν Βυζαντίῳ ἀνθρώπους. βασιλεῖ δὲ Ἰουστινιανῷ 20
χαλεπώτατα νοσῆσαι ξυνέβη, ὥστε καὶ ἐλέγετο ὅτι ἀπο-
2 λώλει. τοῦτον δὲ τὸν λόγον περιαγαγοῦσα ἡ φήμη διε-
κόμισεν ἄχρι ἐς τὸ Ῥωμαίων στρατόπεδον. ἐνταῦθα

---

2 cf. Ioannes Eph. p. 31. Theoph. I 242, 4 || 9 cf. I 246, 16 || 12 cf. I 248, 13 || 19 cf. I 249, 8

---

1 ἐντυχόντα] ντα evanuit in *G* || 2 περιβαλλόμενος] πε evanuit in *G*, περιβαλόμενος Piccolos, Herw. || 4 ὀμωσμένα *G* || 10 διαπεπράχθαι codd. || 13 ⟨καὶ⟩ addidit Kraš. ex *g*] om. *GS* || 14 δὲ codd.] δὲ ⟨ὃς⟩ Dind. || 22 περιαγαγοῦσα scripsi] παραγαγοῦσα codd., παραλαβοῦσα Reiske

ἔλεγον τῶν ἀρχόντων τινὲς ὡς, ἢν βασιλέα Ῥωμαῖοι ἕτερόν τινα ἐν Βυζαντίῳ καταστήσωνται σφίσιν, οὐ μήποτε αὐτοὶ ἐπιτρέψωσιν. ὀλίγῳ δὲ ὕστερον βασιλεῖ 3 μὲν ῥαΐσαι ξυνέβη, τοῖς δὲ τοῦ Ῥωμαίων στρατοῦ
5 ἄρχουσι διαβόλοις ἐπ' ἀλλήλοις γενέσθαι. Πέτρος τε 4 γὰρ ὁ στρατηγὸς καὶ Ἰωάννης, ὅνπερ ἐπίκλησιν Φαγᾶν ἐκάλουν, Βελισαρίου τε καὶ Βούζου ἐκεῖνα λεγόντων ἰσχυρίζοντο ἀκηκοέναι ἅπερ μοι ἀρτίως δεδήλωται. ταῦτά γε ἡ βασιλὶς Θεοδώρα ἐπικαλέσασα ἐφ' ἑαυτῇ 5
10 τοῖς ἀνθρώποις εἰρῆσθαι μεστὴ ἐγεγόνει. ἅπαντας οὖν 6 εὐθὺς μετακαλέσασα ἐς Βυζάντιον, ζήτησίν τε τοῦ λόγου τούτου ποιησαμένη, τὸν Βούζην μετεπέμψατο εἰς τὴν γυναικωνῖτιν ἐξαπιναίως, ὥς τι αὐτῷ κοινολογησομένη τῶν ἄγαν σπουδαίων. ἦν δέ τι οἴκημα ἐν Παλατίῳ 7
15 κατάγειον, ἀσφαλές τε καὶ λαβυρινθῶδες καὶ οἷον Ταρτάρῳ εἰκάζεσθαι, ἵνα δὴ τοὺς προσκεκρουκότας ὡς τὰ πολλὰ καθείρξασα ἐτήρει. καὶ ὁ Βούζης οὖν εἰς τὸ 8 βάραθρον τοῦτο ἐμβέβληται, ἐνταῦθά τε ἀνὴρ ἐξ ὑπάτων γενόμενος ἄγνωστος ἀεὶ τοῦ παρόντος καιροῦ
20 ἔμεινεν. οὔτε γὰρ αὐτὸς ἐν σκότῳ καθήμενος δια- 9 γινώσκειν οἷός τε ἐγεγόνει πότερον ἡμέρα ἢ νύκτωρ B 31 εἴη οὔτε ἄλλῳ τῳ ἐντυχεῖν εἶχεν. ἄνθρωπος γάρ, ὅσπερ 10 οἱ ἐς ἡμέραν ἑκάστην τὰ σιτία ἐρρίπτει, ὥσπερ τι θηρίον θηρίῳ ἄφωνος ἀφώνῳ ὡμίλει. καὶ πᾶσι μὲν 11

14 cf. Chron. Pasch. I 627, 11

1—2 ἢν—βυζαντίῳ G] ἢ βασιλέα ἕτερόν τινα ἐν βυζαντίῳ ῥωμαῖοι S ‖ 3 ἐπιτρέψωσιν Reiske] ἐπιστρέψωσιν codd. ‖ 10 θυμοῦ μεστὴ Alem. ‖ 13 κοινολογησαμένη G ‖ 14 παλλαντίῳ S ‖ 17 ἐτήρει Herw.] ἐντηρῇ codd. | ἐς S ‖ 18 ἐμβεβλητα/ἐνταῦθα τ/ /νὴρ G ‖ 20 ἔμειν// οὔτε G ‖ 22 ἄνθρωπος Herw.] ἄνθρωπος codd.

τετελευτηκέναι εὐθὺς ἔδοξε, λόγον μέντοι ἢ μνήμην
☐ ποιεῖσθαι αὐτοῦ τινα ⟨ἐτόλμα⟩ οὐδείς. ἐνιαυτοῖν δὲ
P 13 δυοῖν ὕστερον πρὸς μησὶ τέσσαρσιν οἰκτισαμένη τὸν
12 ἄνδρα ἀφῆκε. καὶ ὃς ὥσπερ ἀναβεβιωκὼς ἅπασιν ὤφθη.
ξυνέβη τε τῷ ἀνθρώπῳ ἐνθένδε ἀεὶ ἀμβλυώττειν τε 5
καὶ τὸ ἄλλο σῶμα νοσώδει εἶναι.
13 Τὰ μὲν οὖν ἀμφὶ τῷ Βούζῃ τῇδε ἐχώρησε. Βελι-
σάριον δὲ βασιλεύς, καίπερ οὐδενὸς τῶν κατηγορου-
μένων ἁλόντα, ἐγκειμένης τῆς βασιλίδος παραλύσας ἧς
εἶχεν ἀρχῆς Μαρτῖνον ἀντ' αὐτοῦ τῆς ἑῴας στρατηγὸν 10
κατεστήσατο, τούς τε Βελισαρίου δορυφόρους τε καὶ
ὑπασπιστάς, καὶ τῶν οἰκετῶν εἴ τι ἐν πολέμῳ δόκιμον
ἦν, τῶν τε ἀρχόντων καὶ τῶν ἐν Παλατίῳ εὐνούχων
14 τισὶν ἐπέστειλε διαδάσασθαι. οἱ δὲ κλήρους ἐπ' ἐκεί-
νοις ἐμβεβλημένοι αὐτοῖς ὅπλοις ἅπαντας ἐν σφίσιν 15
αὐτοῖς διενείμαντο, ὥς πη κατατυχεῖν ἑκάστῳ συνέβη.
15 καὶ τῶν φίλων δὲ καὶ ἄλλως αὐτῷ τὰ πρότερα ὑπουρ-
γηκότων πολλοῖς ἀπεῖπε παρὰ Βελισάριον μηκέτι ἰέναι.
16 καὶ περιήρχετο πικρὸν θέαμα καὶ ἄπιστος ὄψις, Βελι-
σάριος ἰδιώτης ἐν Βυζαντίῳ, σχεδόν τι μόνος, σύννους 20
B 32 ἀεὶ καὶ σκυθρωπὸς καὶ τὸν ἐξ ἐπιβουλῆς ὀρρωδῶν
17 θάνατον. μαθοῦσα δὲ ἡ βασιλὶς πολλά οἱ ἐπὶ τῆς ἕω
χρήματα εἶναι, πέμψασα τῶν ἐν Παλατίῳ εὐνούχων

9—10 παραλύσας—ἀρχῆς] παραλύσας αὐτὸν τῆς ἀρχῆς Suid. s. v. παραλύσας ‖ 11 cf. II 336, 22 ‖ 19 cf. Auct. Marcell. Com. ad a. 545 Belisarius de oriente evocatus in offensam periculumque incurrens grave et invidiae subiacens, rursus remittitur ad Italiam. Cramer Anecd. II 324

1 post μέντοι spatium unius verbi vacuum est in *S* ‖ 2 αὐτοῦ τινα Alem.] ταῦτα τινὰ codd. | ἐτόλμα Alem.] om. codd. spatium vacuum est in *S* ‖ 10 Μαρτῖνον] μαρτὶν *G* | στρατηγὸν τῆς ἑώας *S* | 16 πη *S*] ποι *G* | ξυνέβη *S* ‖ 18 ἀπεῖπε Alem.] ἀπεῖπον codd. | Βελισάριον Kraš.] βελισαρίῳ codd. ‖ 22 οἱ *S*] om. *G*

τινὰ κεκόμισται πάντα. ἐτύγχανε δὲ ἡ Ἀντωνίνα, ὥς 18
μοι εἴρηται, τῷ μὲν ἀνδρὶ διάφορος γεγενημένη, τῇ δὲ
βασιλίδι φιλτάτη καὶ ἀναγκαιοτάτη οὖσα ἐν τοῖς μάλι- □
στα ἅτε Ἰωάννην ἔναγχος κατεργασαμένη τὸν Καππα-
5 δόκην. διὸ δὴ χαρίσασθαι ἡ βασιλὶς τῇ Ἀντωνίνῃ 19
βουλευσαμένη, ἅπαντα ἔπραττεν ὅπως ἐξαιτήσασθαί τε
τὸν ἄνδρα ἡ γυνὴ καὶ ἀπὸ ξυμφορῶν τηλικῶνδε ῥύσα-
σθαι δόξειε, ταύτῃ τε οὐ μόνον τῷ ταλαιπώρῳ ἐς τὸ
παντελὲς καταλλαγῆναι συμβήσεται, ἀλλὰ καὶ διαρρήδην
10 αὐτὸν ἅτε πρὸς αὐτῆς διασεσωσμένον αἰχμάλωτον ἀναρ- □
πάσασθαι. ἐγένετο δὲ ὧδε. ἦλθε μέν ποτε Βελισάριος 20
πρωῒ ἐς Παλάτιον, ᾗπερ εἰώθει, ξὺν ἀνθρώποις οἰκ-
τροῖς τε καὶ ὀλίγοις τισίν. οὐκ εὐμενῶν δὲ πειρασά- 21
μενος βασιλέως τε καὶ τῆς βασιλίδος, ἀλλὰ καὶ περιυβρισ-
15 μένος ἐνταῦθα ὑπ' ἀνδρῶν μοχθηρῶν τε καὶ ἀγελαίων,
οἴκαδε ἀμφὶ δείλην ὀψίαν ἀπιὼν ᾤχετο, συχνά τε
περιστρεφόμενος ἐν τῇ ἀναχωρήσει ταύτῃ καὶ πανταχόσε
χόσε περισκοπούμενος, ὁπόθεν ποτὲ προσιόντας αὐτῷ
τοὺς ἀπολλύντας ἴδοι. ξὺν ταύτῃ τε τῇ ὀρρωδίᾳ εἰς 22
20 τὸ δωμάτιον ἀναβὰς ἐπὶ τῆς στιβάδος καθῆστο μόνος,
γενναῖον μὲν οὐδὲν ἐννοῶν, οὐδὲ ὅτι ἀνὴρ ἐγεγόνει
ἐν μνήμῃ ἔχων, ἱδρῶν δὲ ἀεὶ καὶ ἰλιγγιῶν καὶ ξὺν
τρόμῳ πολλῷ ἀπορούμενος, φόβοις τε ἀνδραποδώδεσι B 33
καὶ μερίμναις ἀποκναιόμενος φιλοψύχοις τε καὶ ὅλως
25 ἀνάνδροις. Ἀντωνίνα δὲ ἅτε οὔτε τὰ πρασσόμενα ὅλως 23
ἐπισταμένη οὔτε τι τῶν ἐσομένων καραδοκοῦσα

1 ἡ *S*] om. *G* ‖ 3 οὖσα? Kraš. in appar. crit.] τυγχάνουσα codd. ‖ 7 συμφορῶν *S* ‖ 9 ξυμβήσεται *S* ‖ 12 εἰώθει *G*] εἴθισται *S* | ξὺν *G*] om. *S* ‖ 13 εὐμενῶν Reiske] εὐμενῶς codd. ‖ 16 οἴκαδε] αδε evanuit in *G* ‖ 19 ἐς *S* ‖ 20 στιβάδος] ^ο^τιβάδος *G* ‖ 25—26 οὔτε — οὔτε] οὐδὲ — οὐδὲ codd.

περιπάτους ἐνταῦθα ἐποιεῖτο συχνοὺς ὀξυρεγμίαν σκη-
24 P 14 πτομένη· ἔτι γὰρ εἰς ἀλλήλους ὑπόπτως εἶχον. μεταξὺ
δέ τις ἐκ Παλατίου, Κουαδρᾶτος ὄνομα, ἧκεν ἤδη δε-
δυκότος ἡλίου, τήν τε αὔλειον ὑπερβὰς ἐξαπιναίως
παρὰ τὴν ἀνδρωνίτιδα ἔστη θύραν, φάσκων πρὸς τῆς 5
25 βασιλίδος ἐνταῦθα ἐστάλθαι. ὅπερ ἐπεὶ Βελισάριος
ἤκουσε, χεῖρας καὶ πόδας ἐπὶ τῆς στιβάδος ἑλκύσας
ὕπτιος ἔκειτο, πρὸς τὴν ἀναίρεσιν ἑτοιμότατος· οὕτως
26 ἅπαν αὐτὸν τὸ ἀρρενωπὸν ἀπελελοίπει. οὔπω τοίνυν
ὁ Κουαδρᾶτος παρ' αὐτὸν εἰσελθὼν γράμματά οἱ τῆς 10
27 βασιλίδος ἐπέδειξεν. ἐδήλου δὲ ἡ γραφὴ τάδε „Ἃ μὲν
„εἰργάσω ἡμᾶς, ὦ βέλτιστε, οἶσθα. ἐγὼ δὲ τὰ πολλὰ
„ὀφείλουσα τῇ σῇ γυναικί, ταῦτα δὴ τὰ ἐγκλήματά σοι
„ἀφεῖναι ξύμπαντα ἔγνωκα, ἐκείνῃ τὴν σὴν δωρουμένη
28 „ψυχήν. τὸ μὲν οὖν ἔνθεν σοι τὸ θαρσεῖν ὑπέρ τε 15
„τῆς σωτηρίας καὶ τῶν χρημάτων περίεστιν· ὁποῖος δὲ
„σὺ πρὸς αὐτὴν ἔσῃ διὰ τῶν πραχθησομένων εἰσόμεθα."
29 ταῦτα ἐπεὶ Βελισάριος ἀνελέξατο, ἅμα μὲν ὑφ' ἡδονῆς
B 34 ἐπὶ μέγα ἀρθείς, ἅμα δὲ καὶ τῷ παρόντι ἐπίδειξιν
ἐθέλων ποιεῖσθαι τῆς γνώμης, ἀναστὰς εὐθὺς παρὰ 20
30 τῆς γυναικὸς τοὺς πόδας ἐπὶ στόμα πίπτει. καὶ χειρὶ
μὲν ἑκατέρᾳ περιλαβὼν αὐτῆς ἄμφω τὰς κνήμας, τὴν
δὲ γλῶσσαν ἀεὶ τῶν ταρσῶν τῆς γυναικὸς μεταβιβά-

1—2 περιπάτους — σκηπτομένη] Suid. s. v. ὀξυρεγμία

---

1 ἐνταῦθα om. Suid. ‖ 1—2 σκηπτομένη] προσποιουμένη Suid. ‖ 3 κουαδράτος hic et infra codd. ‖ 5 τὴν] τὴν ⟨εἰς⟩ Herw. | ἀνδρωνίτιδος Kraš. | θύραν ἔστη S ‖ 7 τῆς στιβάδος S] στοιβάδος G | ἑλκύσας codd.] ἐκλύσας Alem. ‖ 9 ἀπελελοίπει G] ἀπολελοίπει S | οὔπω codd.] οὗτος Herw. ‖ 12 τὰ] τοι Piccolos ‖ 13 ταῦτα Kraš.] ταύτης G S, ταύτῃ g, ταύτης δὴ ἕνεκα Alem., ταύτης δὴ χάριν Reiske ‖ 18 ταῦτα G] ταύτῃ S ‖ 21 τῆς S] τοὺς G ‖ 22 κνήμας G, S pr. m. corr.] πόδας S pr. m.

ζων, τοῦ μὲν βίου καὶ τῆς σωτηρίας αἰτίαν ἐκάλει,
ἀνδράποδον δὲ αὐτῆς τὸ ἐνθένδε πιστὸν ὡμολόγει καὶ
οὐκ ἀνὴρ ἔσεσθαι. καὶ τῶν χρημάτων δὲ ἡ βασιλὶς ἐς 31
τριάκοντα χρυσοῦ κεντηνάρια τῷ βασιλεῖ δοῦσα, τἄλλα
5 Βελισαρίῳ ἀπέδοτο.

Τὰ μὲν οὖν ἀμφὶ Βελισαρίῳ τῷ στρατηγῷ τῇδε 32
κεχωρήκει, ᾧπερ ἡ τύχη οὐ πολλῷ πρότερον Γελίμερά
τε καὶ Οὐίττιγιν δορυαλώτους παρεδεδώκει. ἐκ πα- 33
λαιοῦ δὲ Ἰουστινιανόν τε καὶ Θεοδώραν πλοῦτος ὁ
10 τούτου τοῦ ἀνδρὸς ἀκριβῶς ἔκνιζεν, ὑπέρογκός τε ὢν
καὶ βασιλικῆς αὐλῆς ἄξιος. ἔφασκόν τε ὡς τῶν δημο- 34
σίων χρημάτων Γελίμερός τε καὶ Οὐιττίγιδος τὸ πλεῖ-
στον ἀποκρυψάμενος λάθρα ἔτυχε, μοῖραν δὲ αὐτῶν □
βραχεῖάν τέ τινα καὶ οὐδαμῇ ἀξιόλογον βασιλεῖ ἔδωκε.
15 πόνους δὲ τοὺς τοῦ ἀνθρώπου καὶ τῶν ἔξωθεν τὴν 35
βλασφημίαν διαριθμούμενοι, ἅμα δὲ καὶ σκῆψιν ἀξιό-
χρεων ἐπ' αὐτῷ οὐδεμίαν κεκομισμένοι ἡσυχῇ ἔμενον.
τότε δὲ ἡ βασιλὶς αὐτοῦ λαβομένη κατωρρωδηκότος τε 36
καὶ ἀποδειλιάσαντος ὅλως πράξει μιᾷ διεπράξατο ξυμ-
20 πάσης αὐτοῦ τῆς οὐσίας κυρία γενέσθαι. ἐς κῆδος γὰρ 37
ἀλλήλοις ξυνηλθέτην εὐθὺς, Ἰωαννίνα τε ἡ Βελισαρίου
θυγάτηρ, ἧσπερ μόνης ἐγεγόνει πατὴρ, Ἀναστασίῳ τῷ
τῆς βασιλίδος θυγατριδῷ μνηστὴ γέγονε. Βελισάριος 38 B 35
μὲν οὖν ἀρχήν τε ἀπολαβεῖν τὴν οἰκείαν ἠξίου καὶ

20—21 ἐς—εὐθὺς] cit. Suid. s. v. κῆδος ‖ 22 Athanasii, Theodorae nepotis, mentio fit a Ioann. Eph. 196. cf. prol.

8 παραδεδώκει S ‖ 10 τούτου] υτο evanuit in G | ἀκριβῶς] κρ evanuit in G ‖ 11 ἄξιος] ος evanuit in G ‖ 12 οὐίττιδος G, οὐίττιγις S ‖ 13 ἔτυχε codd.] ἔσχε Reiske ‖ 14 τινα G] om. S ‖ 16 διαριθμούμενος S ‖ 21 εὐθὺς] εὐθύ S | ἰωαννι (α/ superscr.) S ‖ 22 ἀναστασίω G] om. S ‖ 24 μὲν G] om. S

στρατηγὸς τῆς ἑῴας ἀποδειχθεὶς πάλιν ἐπὶ Χοσρόην καὶ Μήδους ἐξηγήσεσθαι τῷ Ῥωμαίων στρατῷ, Ἀντωνίνα δὲ οὐδαμῶς εἴα· περιυβρίσθαι ⟨γὰρ⟩ ἐν τοῖς ἐκείνῃ χωρίοις πρὸς αὐτοῦ ἔφασκεν, ἅπερ οὐκέτι τὸ λοιπὸν ὄψεσθαι. 5

39 P 15 Διὸ δὴ Βελισάριος ἄρχων τῶν βασιλικῶν καταστὰς ἱπποκόμων ἐς τὴν Ἰταλίαν τὸ δεύτερον ἐστάλη, ὁμολογήσας βασιλεῖ, ὥς φασι, χρήματα μήποτε αὐτὸν ἐν τῷδε τῷ πολέμῳ αἰτήσειν, ἀλλὰ ξύμπασαν αὐτὸς τὴν τοῦ πολέμου παρασκευὴν χρήμασιν οἰκείοις ποιήσεσθαι. 10 40 πάντες μὲν οὖν ὑπετόπαζον τά τε ἀμφὶ τῇ γυναικὶ ταύτῃ, ᾗπερ ἐρρήθη, Βελισάριον διοικήσασθαι καὶ βασιλεῖ ταῦτα ὁμολογῆσαι ἀμφὶ τῷ πολέμῳ ἃ δεδιήγηται, ἀπαλλαξείοντα τῆς ἐν Βυζαντίῳ διατριβῆς, ἐπειδάν τε τάχιστα τοῦ τῆς πόλεως περιβόλου ἐκτὸς γένηται, ἁρπάσεσθαί τε αὐτίκα τὰ ὅπλα καί τι γενναῖον καὶ ἀνδρὶ 15 πρέπον ἐπί τε τῇ γυναικὶ καὶ τοῖς βιασαμένοις φρονή-41 σειν. αὐτὸς δὲ πάντα τὰ ξυμπεσόντα ἐν ἀλογίᾳ πεποιημένος ὅρκων τε τῶν Φωτίῳ καὶ τοῖς ἄλλοις ἐπιτηδείοις ὀμωμοσμένων ἐν λήθῃ τε πολλῇ καὶ ὀλιγωρίᾳ γενόμε- 20 νος εἵπετο τῇ γυναικί, καταστὰς ἐκτόπως εἰς αὐτὴν ἐρωτόληπτος, καὶ ταῦτα ἑξήκοντα ἤδη γεγονυῖαν ἔτη. 42 ἐπειδὴ μέντοι ἐν Ἰταλίᾳ ἐγένετο, εἰς ἡμέραν ἑκάστην ἀπ' ἐναντίας αὐτῷ τὰ πράγματα ἐχώρει, ἐπεὶ οἱ διαρρή-43 δην τὰ ἐκ θεοῦ πολέμια ἦν. πρῶτον μέν γε τὰ τῷ 25 στρατηγῷ τούτῳ ἐν τοῖς ξυμπίπτουσιν ἐπί τε Θευδάτον

---

2 ἐξηγήσασθαι Herw. | τῶ στρατῶ ῥωμαίων S ‖ 3 εἴα Alem.] εἴη codd. | ⟨γὰρ⟩ g, Orelli in not., Reiske] om. G S ‖ 8 μήποτε χρήματα S ‖ 10 ποιήσεσθαι Herw.] ποιήσασθαι codd. ‖ 13 ἃ δεδιήγηται S] om. G ‖ 15—16 ἁρπάσεσθαί Kraš.] ἁρπάσασθαί codd. ‖ 17—18 φρονήσειν Kraš.] φρονῆσαι codd. ‖ 23 ἐπειδὴ G] ἐπεὶ S | ἐς S

καὶ Οὐίττιγιν βουλευόμενα, καίπερ οὐκ ἐπιτηδείως τοῖς
πρασσομένοις δοκοῦντα ἔχειν, ἐς ξύμφορον ἐκ τοῦ ἐπὶ B 36
πλεῖστον ἐτελεύτα τέλος· ἐν δὲ τῷ ὑστέρῳ δόξαν μὲν
ἀπήνεγκεν ὅτι δὴ τὰ βελτίω βεβούλευται ἅτε καὶ τῶν
5 κατὰ τὸν πόλεμον τόνδε πραγμάτων γεγονὼς ἔμπειρος,
ἀλλ' ἐν τοῖς ἀποβαίνουσι κακοτυχοῦντι τὰ πολλὰ ἐς
ἀβουλίας δόκησιν αὐτῷ ἀπεκρίθη. οὕτως ἄρα οὐκ ἀν- 44
θρώπων βουλαῖς, ἀλλὰ τῇ ἐκ θεοῦ ῥοπῇ πρυτανεύεται
τὰ ἀνθρώπεια, ὃ δὴ τύχην εἰώθασι καλεῖν ἄνθρωποι,
10 οὐκ εἰδότες ὅτου δὴ ἕνεκα ταύτῃ πρόεισι τὰ ξυμβαί-
νοντα, ἥπερ αὐτοῖς ἔνδηλα γίνεται. τῷ γὰρ ἀλόγῳ 45
δοκοῦντι εἶναι φιλεῖ τὸ τῆς τύχης ὄνομα προσχωρεῖν.
ἀλλὰ ταῦτα μὲν ὥς πη ἑκάστῳ φίλον, ταύτῃ δοκείτω.

ε΄. Βελισάριος δὲ τὸ δεύτερον ἐν Ἰταλίᾳ γενόμενος
15 αἴσχιστα ἐνθένδε ἀπήλλαξε· τῆς μὲν γὰρ γῆς ἐς πεν-
τάετες ἀποβῆναι ⟨οὐδαμῇ⟩ ἴσχυσεν, ὥσπερ μοι ἐν τοῖς
ἔμπροσθεν λόγοις ἐρρήθη, ὅτι μὴ ἔνθα τι ὀχύρωμα ἦν.
ναυτιλλόμενος δὲ πάντα τοῦτον τὸν χρόνον τὰ ἐπιθα- P 16
λάσσια ⟨περιῄει⟩. Τουτίλας δὲ λυσσῶν ⟨ἦν⟩ αὐτὸν 2
20 ἔξω τείχους λαβεῖν, οὐ μέντοι εὗρεν, ἐπεὶ ὀρρωδίᾳ
πολλῇ αὐτός τε καὶ ξύμπας ὁ Ῥωμαίων στρατὸς εἴχετο. B 37
διὸ δὴ οὔτε τῶν ἀπολωλότων τι ἀνεσώσατο, ἀλλὰ καὶ 3

7—13 οὕτως—δοκείτω] eadem fere verba invenis II 552, 12 ‖ 7—12 οὐκ—προσχωρεῖν] cit. Suid. s. v. τύχη. ‖ 8—9 τῇ τοῦ θεοῦ—ἀνθρώπεια Suid. s. v. πρυτανεύεται. ‖ 16 cf. II 453, 14

3 ἐτελεύτα] λευτ in litura in *G* ‖ 8 ἀλλὰ] ἀλλὰ καὶ *S* ‖ 9 καλεῖν εἰώθασιν Suid. ‖ 11 ἥπερ Proc. II 552, 16] εἴπερ codd. | ἀλόγῳ codd.] παραλόγῳ II 552, 16 ‖ 13 ταύτῃ *G*] οὕτω *S* ‖ 14 βελισσάριος *S* ‖ 16 ἀποβῆναι ⟨οὐδαμῇ⟩ Maltr.] ἐπιβῆναι οὐκ Alem., ἀποβῆναι codd. ‖ 17 ἔνθα τι Piccolos] ἐνθάδε *G*, *S* pr. m. corr., ἐνταῦθα *S* pr. m., ἔνθα δὴ Maltr. et Kraš. ‖ 18 ναυτιλόμενος *G* ‖ 19 ⟨περιῄει⟩ Maltr.] om. codd. | ⟨ἦν⟩ *g*] om. *G S*

Ῥώμην προσαπώλεσε καὶ τἄλλα ὡς εἰπεῖν ἅπαντα.
4 ἐγένετο δὲ φιλοχρήματος ἐν τούτῳ τῷ χρόνῳ πάντων
μάλιστα καὶ κέρδους αἰσχροῦ ἐπιμελητὴς ἀκριβέστατος
ἅτε οὐδὲν ἐκ βασιλέως κεκομισμένος, Ἰταλοὺς ἀμέλει
σχεδὸν πάντας, οἵπερ ᾤκηντο ἐπί τε Ῥαβέννης καὶ 5
Σικελίας, καὶ εἴ του ἄλλου κατατυχεῖν ἐν ἐξουσίᾳ ἔσχεν,
ἐληΐσατο οὐδενὶ κόσμῳ, λογισμοὺς δῆθεν τῶν βεβιω-
5 μένων καταπραττόμενος. οὕτω γοῦν καὶ Ἡρωδιανὸν
μετιὼν χρήματα ᾔτει, ἅπαντα τῷ ἀνθρώπῳ ἐπανασείων.
6 οἷς δὴ ἐκεῖνος ἀχθόμενος ἀπετάξατο μὲν τῷ Ῥωμαίων 10
στρατῷ, αὐτὸν δὲ εὐθὺς ξύν τε τοῖς ἑπομένοις καὶ τῷ
7 ⟨Σπολιτίῳ⟩ Τουτίλᾳ καὶ Γότθοις ἐνέδωκεν. ὅπως δὲ
αὐτῷ τε καὶ Ἰωάννῃ τῷ Βιταλιανοῦ ἀδελφιδῷ διχο-
στατῆσαι συνέβη, ὅπερ τὰ Ῥωμαίων πράγματα μάλιστα
ἔσφηλεν, αὐτίκα δηλώσω. 15

8 Ἐς τοῦτο ἀπεχθείας Γερμανῷ ἡ βασιλὶς ἦλθεν ἐπι-
δηλότατόν τε ἅπασι τὸ ἔχθος ἐποίει, ὥστε αὐτῷ κη-
δεύειν, καίπερ βασιλέως ἀνεψιῷ ὄντι, ἐτόλμα οὐδείς,
ἄνυμφοί τε αὐτῷ οἱ παῖδες διαγεγόνασι, μέχρις αὐτὴ
⟨ἀπελύθη⟩ τοῦ βίου. ἥ τε θυγάτηρ αὐτῷ Ἰουστίνα 20
9 ἐπὶ ὀκτωκαίδεκα ἔτη ἡβήσασα ἔτι ἀνυμέναιος ἦν. διά
B 38 τοι τοῦτο ἡνίκα Ἰωάννης πρὸς Βελισαρίου σταλεὶς
ἀφίκετο ἐς Βυζάντιον, ἐς λόγους αὐτῷ καταστῆναι ὁ
Γερμανὸς ἀμφὶ τῇ κηδείᾳ· ἠνάγκαστο, καὶ ταῦτα λίαν

---

12 cf. II 348, 24

---

5 ᾤκηντο] η in litura in *G* | τε *S*] om. *G* ‖ 12 ⟨Σπολετίῳ⟩ addidit Alem., in codd. spatium unius verbi vacuum est, cf. II 348 | τουτίλλα *G* ‖ 13 βιταλιανοῦ a corr.] βιταλιανῷ *G S* ‖ 14 ξυνέβη *S* ‖ 18 βασιλέως] σιλ evanuit in *G* ‖ 19 αὐτῷ *G*] om. *S* | διαγεγόνασι *S*] γεγόνασι *G* ‖ 20 ⟨ἀπελύθη⟩ τοῦ βίου scripsi] τοῦ βίου codd., ἐβίου Dind. ‖ 22 Βελισαρίου Alem.] βελισάριον codd.

ἀπὸ τῆς ἀξίας τῆς αὐτοῦ ὄντι. ἐπεί τε τὸ πρᾶγμα 10
ἤρεσκεν ἄμφω, ὅρκοις ἀλλήλους ἔγνωσαν δεινοτάτοις
καταλαβεῖν ἦ μὴν τὸ κῆδος ἐπιτελέσειν δυνάμει τῇ
πάσῃ, ἐπεὶ αὐτοῖν ἑκάτερος τὸ θαρσεῖν ἐπὶ θατέρῳ ὡς
5 ἥκιστα εἶχεν, ὁ μὲν τῷ ξυνειδέναι ὅτι δὴ τῶν ὑπὲρ
τὴν ἀξίαν ὀρέγοιτο, ὁ δὲ κηδεστοῦ ἀπορούμενος. ἡ δὲ 11
οὐκ ἔχουσα τίς γένηται διὰ πάσης ὁδοῦ ἰοῦσα ἑκάτερον
μετιέναι μηχανῇ πάσῃ οὐκ ἀπηξίου, ὅπως ἂν τὰ πρατ-
τόμενα διακωλύοι. ἐπεὶ δὲ αὐτοῖν καίπερ πολλὰ δεδι- 12
10 ξαμένη ἀναπείθειν οὐδέτερον ἔσχε, διαρρήδην ἀπολεῖν
τὸν Ἰωάννην ἠπείλησε. καὶ ἀπ' αὐτοῦ Ἰωάννης αὖθις 13
ἐς Ἰταλίαν σταλεὶς οὐδαμῇ ξυμμῖξαι Βελισαρίῳ ἐτόλ-
μησε, τὴν ἐξ Ἀντωνίνης ἐπιβουλὴν δείσας, ἕως Ἀν-
τωνίνα ἐς Βυζάντιον ἦλθε. τήν τε γὰρ βασιλίδα ταύ- 14
15 τῃ ἐπιστεῖλαι τὸν αὐτοῦ φόνον οὐκ ἄπο τοῦ εἰκότος
ἄν τις ὑπώπτευσε, καὶ τὸν Ἀντωνίνης σταθμωμένῳ
τρόπον ἅπαντά τε Βελισάριον ἐνδιδόναι τῇ γυναικὶ
ἐπισταμένῳ δέος ἐγίνετο μέγα καὶ τὸν ἐσῄει. τοῦτο 15 P 17
γοῦν Ῥωμαίοις τὰ πράγματα καὶ πρότερον ἐπὶ θατέρου B 39
20 σκέλους ἑστῶτα προσουδίζει χαμαί.

Βελισαρίῳ μὲν οὖν ὁ Γοτθικὸς πόλεμος τῇδε ἐχώ- 16
ρησεν. ἀπογνοὺς δὲ βασιλέως ἐδεῖτο ὅπως οἱ ἐξῇ ἐν-
θένδε ὅτι τάχιστα ἀπαλλαγῆναι. καὶ ἐπεὶ ἐνδεχόμενον 17

18 cf. II 377, 21—22 ‖ 22—23 cf. II 430, 21

1 ἄπο *G* ‖ 6 ἡ δὲ Alem.] τῶν codd., Θεοδώρα οὖν vel potius οὕτως διαταξαμένων αὐτῶν Reiske ‖ 8—9 πραττόμενα *S*] πραττόμενα μηχανῇ τῇ πάσῃ *G* ‖ 10 οὐδ' ἕτερον codd. | ἀπολεῖν *g* in contextu] ἀπόλλειν *GS*, *g* in marg. ‖ 11—12 οὑτοῦ ἐς ἰταλίαν αὖθις ὁ ἰωάννης στ. *S* ‖ 12 βελισσ. hic et infra *S* ‖ 13 ἐξ *G*] om. *S* ‖ 14—15 ταύτῃ Alem.] ταύτην codd. ‖ 16 σταθμωμένῳ Alem.] σταθμωμένη codd. ‖ 17 βελισαρίω *G* ‖ 18 τὸν ἐσῄει] τόπον σωτηρίας ἐζήτει Reiske, δέος ἐσῄει μέγα conicit Dind., μή τι ἀνήκεστον καὶ ἐς αὐτὸν δράσειε Piccolos, malim: ⟨οὐκέτι παρ' αὐ⟩τὸν ἐσῄει

βασιλέα τὴν δέησιν ἔγνω, ἄσμενος εὐθὺς ἀπιὼν ᾤχετο, χαίρειν πολλὰ τῷ τε Ῥωμαίων στρατῷ καὶ τοῖς Ἰταλοῖς φράσας, καὶ τὰ μὲν πλεῖστα ὑποχείρια τοῖς πολεμίοις ἀπολιπών, Περυσίαν δὲ πικρότατα πολιορκίᾳ πιεζομένην, ἥπερ ἔτι αὐτοῦ ὁδῷ ἰόντος κατ' ἄκρας ἁλοῦσα 5 ἐς πᾶσαν κακοῦ ἰδέαν ἦλθεν, ἧπέρ μοι πρότερον δεδιήγηται. ξυνηνέχθη δὲ καὶ κατὰ τὴν οἰκίαν τύχης ἐναντίωμα ξυμπεσεῖν τοιόνδε.

18 Θεοδώρα ἡ βασιλὶς τῆς Βελισαρίου παιδὸς ἐξεργάζεσθαι τὴν ἐγγύην ἐπειγομένη τῷ θυγατριδῷ, συχνὰ 10 19 γράφουσα τοὺς γειναμένους τὴν κόρην ἠνώχλει. οἱ δὲ τὸ κῆδος ἀναδυόμενοι ἀπετίθεντο μὲν ἐς παρουσίαν τὴν σφετέραν τὸν γάμον, μεταπεμπομένης δὲ αὐτοὺς ἐς Βυζάντιον τῆς βασιλίδος, ἀδύνατοι εἶναι ἀπαλ-20 λάσσεσθαι τανῦν ἐξ Ἰταλίας ἐσκήπτοντο. ἡ δὲ γλιχο- 15 μένη μὲν κύριον τὸν θυγατριδοῦν τοῦ Βελισαρίου καταστήσεσθαι πλούτου,· ᾔδει γὰρ ἐπίκληρον ἐσομένην τὴν παῖδα, οὐκ ὄντος Βελισαρίῳ ἑτέρου του γόνου, ἐπὶ μέντοι τῇ Ἀντωνίνης γνώμῃ θαρσεῖν οὐδαμῇ ἔχουσα, □ δειμαίνουσά τε μὴ μετὰ τὴν τοῦ βίου καταστροφὴν οὐ 20 φανεῖσα πιστὴ ἐς τὸν αὐτῆς οἶκον, καίπερ αὐτῆς οὕτω φιλανθρώπου ἐν τοῖς ἀναγκαιοτάτοις τυχοῦσα, δια-21 σπάσηται τὰ ξυγκείμενα, ἐργάζεται ἀνόσιον ἔργον. τῷ B 40 γὰρ μειρακίῳ τὴν παιδίσκην ξυνοικίζει οὐδενὶ νόμῳ. φασὶ δὲ ὡς καὶ πλησιάσαι οὔτι ἑκουσίαν ἠνάγκασε 25

6—7 cf. II 453, 12

2 τοῖς S] om. G | ἰταλλοῖς G ‖ 3 τὰ Alem.] τῶ codd. ‖ 5 ἔτι Alem.] ἐπὶ codd. | ἰόντος Dind.] ἰέντος codd. ‖ 9—10 τὴν ἐγγύην ἐξεργάζεσθαι τῶ θυγατριδίω ἐπειγομένη S ‖ 10 τὴν ἐγγύην] ν ἐγ evanuit in G | θυγατριδῷ] θυγατριδίω codd. ‖ 14 ἐς G] ἐς τὸ S ‖ 18 τὴν] η evanuit in S

κρύβδην, οὕτω τε διαπεπαρθενευμένη τὸν ὑμέναιον τῇ
κόρῃ ξυστῆναι, τοῦ μὴ βασιλέα ⟨τὰ⟩ πρασσόμενα δια- □
κωλῦσαι. τοῦ μέντοι ἔργου ἐξειργασμένου ἔρωτι ἀλλή- 22
λοιν διαπύρῳ τινὶ ὅ τε Ἀναστάσιος καὶ ἡ παῖς εἴχοντο,
5 καὶ χρόνος σφίσιν οὐχ ἥσσων ἢ ὀκτὼ μηνῶν ἐν ταύτῃ
τῇ διαίτῃ ἐτρίβη. ἡνίκα δὲ Ἀντωνίνα τῆς βασιλίδος 23
ἀπογενομένης ἐς Βυζάντιον ἦλθεν, ἐπελάθετο μὲν ἐθε-
λουσία ὧν ἐκείνη ἔναγχος εἰς αὐτὴν εἴργαστο, ὡς □
ἥκιστα δὲ ὑπολογισαμένη ὡς, ἢν τῳ ἑτέρῳ ἡ παῖς
10 αὐτῇ ξυνοικίζοιτο, πεπορνευμένη τὰ πρότερα ἔσται, τὸν
Θεοδώρας ἔκγονον κηδεστὴν ἀτιμάζει, τήν τε παῖδα ὡς
μάλιστα ἀκουσίαν βιασαμένη ἀνδρὸς τοῦ ἐρωμένου □
ἀπέστησε. μεγάλην τε ἀγνωμοσύνης ἐκ τοῦ ἔργου τού- 24
του ἀπηνέγκατο δόξαν εἰς πάντας ἀνθρώπους, ἥκοντά
15 τε οὐδενὶ πόνῳ ἀναπείθει τὸν ἄνδρα τοῦ ἄγους αὐτῇ
μεταλαχεῖν τοῦδε. ὥστε διαρρήδην τηνικάδε ὁ τοῦ
ἀνθρώπου τρόπος ἐλήλεγκται. καίτοι διομοσάμενος 25
Φωτίῳ τε καὶ τῶν ἐπιτηδείων τισὶ πρότερον καὶ τὰ □
ὀμωμοσμένα οὐδαμῇ ἐμπεδώσας συγγνώμης ἐτύγχανε
20 πρὸς πάντων ἀνθρώπων. αἴτιον γὰρ τοῦ ἀπίστου 26
⟨τ⟩ἀνδρὸς οὐ τὴν γυναικοκράτειαν, ἀλλὰ δέος τὸ ἐκ □
τῆς βασιλίδος ὑπώπτευον εἶναι. ἐπεὶ δὲ καὶ Θεοδώ- 27
ρας ἀπογενομένης, ὥσπερ μοι εἴρηται, οὔτε Φωτίου P 18
οὔτε ἄλλου του τῶν οἱ ἀναγκαίων λόγος γεγένητο,
25 ἀλλ' αὐτῷ δέσποινα μὲν ἡ γυνὴ ἐφαίνετο οὖσα, κύριος

6—7 cf. II 430, 20

2 τὰ addidit Dind.] om. codd. ‖ 5 ἐν G] ἐπὶ S ‖ 11 ἔκγονον G] ἔγγονον S | τε G] om. S ‖ 17 ἐλήλεκται G | καίτοι S] καίτι G | διομωσάμενος G ‖ 19 ὀμωσμένα G ‖ 21 τἀνδρὸς Alem.] ἀνδρὸς codd. | δέος S] om. G ‖ 22 δὲ S] om. G ‖ 23—24 οὔτε—οὔτε Dind.] οὐδὲ—οὐδὲ codd.

B 41 δὲ Καλλίγονος ὁ προαγωγὸς ἦν, τότε δὴ ἀπογνόντες
□ αὐτοῦ ἅπαντες ἐχλεύαζόν τε διαθρυλλοῦντες καὶ ἅτε
ἄνοιαν ὀφλισκάνοντι ἐλοιδοροῦντο. τὰ μὲν οὖν ἡμαρ-
τημένα Βελισαρίῳ ἀπαρακαλύπτως εἰπεῖν ταύτῃ πῃ ἔχει.

28 Τὰ δὲ Σεργίῳ τῷ Βάκχου παιδὶ ἐπὶ Λιβύης ἡμαρ- 5
τημένα διαρκῶς μὲν ἐν λόγοις μοι τοῖς ἐπιτηδείοις
δεδήλωται, ὃς δὴ αἰτιώτατος γέγονε Ῥωμαίοις ἐνταῦθα
διαφθαρῆναι τὰ πράγματα, τά τε πρὸς Λευάθας αὐτῷ
πρὸς τῶν εὐαγγελίων ὀμωμοσμένα ἐν ἀλογίᾳ πεποιη-
μένος καὶ τοὺς ὀγδοήκοντα πρέσβεις οὐδενὶ λόγῳ δια- 10
χρησάμενος, τοσοῦτον δέ μοι τανῦν ἐντιθέναι τῷ λόγῳ
δεήσει, ὡς οὔτε νῷ δολερῷ οἱ ἄνδρες οὗτοι παρὰ Σέρ-
γιον ἦλθον οὔτε τινὰ σκῆψιν ὁ Σέργιος ὑποψίας περὶ
αὐτοὺς εἶχεν, ἀλλὰ διώμοτος ἐπὶ θοίνην καλέσας τοὺς
29 ἄνδρας διεχρήσατο οὐδενὶ κόσμῳ. ἀφ' οὗ δὴ Σολό- 15
μωνι καὶ τῷ Ῥωμαίων στρατῷ καὶ Λίβυσι πᾶσι διε-
30 φθάρθαι ξυνέβη. δι' αὐτὸν γάρ, ἄλλως τε καὶ Σολό-
μωνος τετελευτηκότος, ὥσπερ μοι εἴρηται, οὔτε τις
ἄρχων οὔτε τις στρατιώτης ἐς πολέμου κίνδυνον ἰέναι
31 ἠξίου. μάλιστα δὲ πάντων Ἰωάννης ὁ Σισιννιόλου τῷ 20
ἐς αὐτὸν ἔχθει ἀπόμαχος ἦν, ἕως Ἀρεόβινδος ἐς Λι-
32 βύην ἀφίκετο. ἦν γὰρ ὁ Σέργιος μαλθακὸς μὲν καὶ
ἀπόλεμος, τὸ δὲ ἦθος καὶ τὴν ἡλικίαν κομιδῇ νέος,
φθόνῳ τε καὶ ἀλαζονείᾳ ἐς ὑπερβολὴν ἐχόμενος ἐς

---

6 cf. I 517, 25 ‖ 18 cf. I 522, 4 ‖ 20 cf. I 522, 18

---

1 ἀπογνόντες] καταγνόντες Reiske ‖ 3 ἐλοιδοροῦντο] οιδ evanuit in *G* ‖ 7 ὃς Alem.] ὡς codd. ‖ 8 Λευάθας Isambert] λευεθὰ *G*, λευεθᾶ *S* ‖ 11—41, 8 λόγῳ—πρόσθεν desunt in *S* folio interciso ‖ 14 ἀλλὰ διώμοτος Isambert] ἀλλ' ἀδιώμοτος *G* ‖ 18—19 οὔτε—οὔτε Dind.] οὐδὲ—οὐδὲ *G* ‖ 21 ἔχθει Alem.] ἄχθει *G* | ἀπόμαχος Dind.] ἀπομαχόμενος *G*

πάντας ἀνθρώπους, τεθρυμμένος τε τὴν δίαιταν καὶ τὰς γνάθους φυσῶν. ἀλλ' ἐπεὶ τῆς Ἀντωνίνης τῆς Βελι- 33 B 42 σαρίου γυναικὸς ἐγγόνης ἐτύγχανε μνηστὴρ γεγονώς, τίσιν τινὰ ἐς αὐτὸν ἡ βασιλὶς ἐξενεγκεῖν ἢ παραλύειν 5 τῆς ἀρχῆς οὐδαμῇ ἤθελε, καίπερ ἐνδελεχέστατα δια-φθειρομένην Λιβύην ὁρῶσα, ἐπεὶ καὶ Σολόμωνα τὸν Σεργίου ἀδελφὸν τοῦ Πηγασίου φόνου αὐτή τε καὶ βασιλεὺς ἀθῷον ἀφῆκεν. ὅ τι δὲ τοῦτό ἐστιν αὐτίκα δηλώσω.

10 Ἐπειδὴ ὁ Πηγάσιος τὸν Σολόμωνα πρὸς τῶν Λευα- 34 θῶν ὠνήσατο καὶ οἱ βάρβαροι ἐπ' οἴκου ἀπεκομίσθησαν, ὁ μὲν Σολόμων ξύν τε Πηγασίῳ τῷ ἐωνημένῳ καὶ στρατιώταις ὀλίγοις τισὶν εἰς Καρχηδόνα ἐστέλλετο, ἐν δὲ τῇ ὁδῷ ταύτῃ λαβὼν ὁ Πηγάσιος ὅ τι δὴ ἀδικοῦντα 15 Σολόμωνα χρῆναί οἱ ἔφασκεν ἐν μνήμῃ εἶναι ὡς αὐτὸν ἔναγχος ἐκ τῶν πολεμίων ὁ θεὸς ῥύσαιτο. ὁ δὲ χαλε- 35 πήνας, ὅτι δή οἱ ἅτε δορυαλώτῳ ὠνείδισε, τὸν Πηγά-σιον εὐθὺς ἔκτεινε, ταῦτά τε σῶστρα τῷ ἀνθρώπῳ ἀπέδωκεν. ἐπειδή τε ὁ Σολόμων ἐς Βυζάντιον ἦλθε, 36 20 καθαρὸν αὐτὸν βασιλεὺς τοῦ φόνου ἐποίει ἅτε προ-δότην ἀνελόντα τῆς Ῥωμαίων ἀρχῆς. γράμματά τε 37 αὐτῷ ἐδίδου τὴν ὑπὲρ τούτων ἀσφάλειαν παρεχόμενος. καὶ ὁ μὲν Σολόμων· οὕτω τὴν τίσιν διαφυγὼν ἐπὶ τὴν ἑῴαν ἄσμενος ᾔει, τήν τε πατρίδα καὶ γένος τὸ κατὰ 25 τὴν οἰκίαν ὀψόμενος. ἡ δὲ ἀπὸ τοῦ θεοῦ τίσις ἐν 38 ταύτῃ τῇ ὁδῷ καταλαβοῦσα ἐξ ἀνθρώπων αὐτὸν ἀφα-

10 cf. I 524, 11

1 τεθρυμμένος Alem.] τεθρυλλημένος G ‖ 2 φυσῶν Dind.] φυσσῶν G ‖ 21 γράμματα] μα evanuit in G ‖ 23 σολομῶν G ‖ 24 ᾔει g] εἴη G ‖ 26 αὐτὸν Alem.] αὐτῶν G

νίζει. τὰ μὲν οὖν ἀμφὶ Σολόμωνί τε καὶ Πηγασίῳ τῇδε ἐχώρησεν.

P 19 ϛ'. Οἵτινες δὲ ἀνθρώπω Ἰουστινιανός τε καὶ Θεοδώρα ἤστην τρόπῳ τε ὅτῳ διεσπάσαντο τὰ Ῥωμαίων 2 B 43 πράγματα ἐρῶν ἔρχομαι. Λέοντος ἐν Βυζαντίῳ τὴν 5 αὐτοκράτορα ἀρχὴν ἔχοντος, γεωργοὶ νεανίαι τρεῖς, Ἰλλυριοὶ γένος, Ζίμαρχός τε καὶ Διτύβιστος καὶ Ἰουστῖνος ὁ ἐκ Βεδεριάνης, πράγμασιν ἐνδελεχέστατα τοῖς ἀπὸ τῆς πενίας οἴκοι μαχόμενοι τούτων τε ἀπαλλα- 3 ξείοντες ἐπὶ τὸ στρατεύεσθαι ὥρμησαν. καὶ πεζῇ βαδί- 10 ζοντες ἐς Βυζάντιον ἤεσαν, σισύρας ἐπὶ τῶν ὤμων αὐτοὶ φέροντες, ἐν αἷς δὴ ἄλλο οὐδὲν ὅτι μὴ διπύρους ἄρτους οἴκοθεν ἐμβεβλημένοι ἀφίκοντο, ταχθέντας τε ἐν τοῖς στρατιωτικοῖς καταλόγοις βασιλεὺς αὐτοὺς ἐς τοῦ Παλατίου τὴν φυλακὴν ἐπελέξατο. κάλλιστοι γὰρ 15 4 ἅπαντες τὰ σώματα ἦσαν. χρόνῳ δὲ ὕστερον Ἀναστασίῳ τὴν βασιλείαν παραλαβόντι πόλεμος πρὸς τὸ Ἰσαύ- 5 ρων ἔθνος ὅπλα ἐπ' αὐτὸν ἀραμένους κατέστη. στρατιάν τε λόγου ἀξίαν ἐπ' αὐτοὺς ἔπεμψεν, ἧσπερ

---

6 γεωργοὶ] cf. Zonar. III 265, 24 Ἰουστῖνος . . . γονέων μὲν ἐκφὺς ἀσήμων καὶ ἀφανῶν καὶ αὐτὸς τὸ πρότερον αὐτουργῶν ἢ βουκόλος τυγχάνων καὶ συφορβός ‖ 7—8 cf. Agath. 324, 9. Mal. 409, 17. 410, 2. Zach. 140, 6. Vict. Tonn. ad annum 518. Theoph. I 164, 18. Theod. Lect. II 37 ‖ 8—11 πράγμασιν—μαχόμενοι ἀπαλλαξείοντες ἐς Βυζάντιον ἤεσαν Suid. s. v. ἐνδελεχισμός ‖ 10—13 καὶ πεζῇ βαδίζοντες—ἀφίκοντο] οἱ δὲ ἐς Βυζάντιον κτλ. Suid. s. v. σισύρα, σισύρας κτλ. s. v. δίπυρος ἄρτος

---

1 Σολόμωνί τε Maltr.] σολομῶντι G ‖ 3 Οἵτινες] hinc incipit P | ἀνθρώπω Reiske] ἀνθρώπων codd. ‖ 8 ἐνδελεχέστατα τοῖς codd.] ἐνδελεχεστάτοις Suid. ‖ 9 οἴκοι om. Suid. ‖ 10 τὸ P et Braun] τῷ G ‖ 12 διπύρους P pr. m. corr. et Suid.] πυροὺς P pr. m., G ‖ 15 ἐπελέξατο P] ἐπεξελέξατο G | κάλιστοι G ‖ 18 κατέστη] ὁπλίζει (superscr. κατέστη) G

Ἰωάννης ἡγεῖτο, ἐπίκλησιν Κυρτός. οὗτος Ἰωάννης τὸν Ἰουστῖνον ἁμαρτάδος τινὸς ἕνεκα ἐν δεσμωτηρίῳ καθεῖρξεν, ἡμέρᾳ τε τῇ ἐπιούσῃ ἐξ ἀνθρώπων αὐτὸν ἀφανιεῖν ἔμελλεν, εἰ μή τις μεταξὺ ἐπιγενομένη ὄψις 5 ὀνείρου ἐκώλυσεν. ἔφη γάρ οἱ ἐν ὀνείρῳ ὁ στρατηγὸς 6 ἐντυχεῖν τινα παμμεγέθη τε τὸ σῶμα καὶ τἄλλα κρείσσω ἢ ἀνθρώπῳ εἰκάζεσθαι. καὶ τὸν μέν οἱ ἐπισκῆψαι 7 μεθεῖναι τὸν ἄνδρα, ὅνπερ καθείρξας ἐκείνῃ τῇ ἡμέρᾳ ἐτύγχανεν· αὐτὸν δὲ τοῦ ὕπνου ἐξαναστάντα 10 ἐν ἀλογίᾳ τὴν τοῦ ὀνείρου ὄψιν ποιήσασθαι. ἐπιλαβούσης 8 δὲ καὶ ἑτέρας νυκτὸς ἐδόκει μέν οἱ ἐν τῷ ὀνείρῳ καὶ αὖθις τῶν λόγων ἀκούειν ὥνπερ ἠκηκόει τὸ πρότερον, ἐπιτελέσαι δὲ τὰ ἐπιτεταγμένα οὐδ' ὣς B 44 βεβουλῆσθαι. τρίτον τέ οἱ ἐπιστᾶσαν τὴν τοῦ ὀνείρου 9 15 ὄψιν ἀπειλῆσαι μὲν τὰ ἀνήκεστα, ἢν μὴ τὰ ἐπηγγελμένα ποιοίη, ἐπειπεῖν τε ὡς αὐτοῦ τε τοῦ ἀνθρώπου καὶ τῆς ξυγγενείας χρέος οἱ μέγα ὀργισθησομένῳ ἐς χρόνον τὸν ὄπισθεν εἴη.

Τότε μὲν οὖν οὕτως Ἰουστίνῳ περιεῖναι ξυνέβη, 10 20 προϊόντος δὲ τοῦ χρόνου ἐς μέγα δυνάμεως οὗτος Ἰουστῖνος ἐχώρησεν. ἄρχοντα γὰρ αὐτὸν Ἀναστάσιος βασιλεὺς 11 κατεστήσατο τῶν ἐν Παλατίῳ φυλάκων. ἐπειδή τε ὁ βασιλεὺς ἐξ ἀνθρώπων ἠφάνιστο, αὐτὸς τῇ τῆς ἀρχῆς δυνάμει τὴν βασιλείαν παρέλαβε, τυμβογέρων

1 cf. Mal. 393, 15. Theoph. I 138, 8. Ioann. Antioch. fr. 214b ‖ 5 cf. Zonar. III 264, 23. Cedren. I 635, 9 ‖ 24—40, 1 ὁ δὲ Ἰουστῖνος ὁ βασιλεὺς τυμβογέρων ἦν ἤδη Suid. s. v. τυμβογέρων

2 ἰουστῖνον a corr.] ἰουστινιανὸν *G P* ‖ 4 ἀφανιεῖν Reiske] ἀφίειν codd. ‖ 7 κρείττω *P* ‖ 11 μέν οἱ Piccolos] μένειν codd., μὲν Reiske ‖ 17—18 ἐς χρόνον] ἐς χ evanuit in *G* ‖ 23 τε] δὲ Piccolos

μὲν γεγονὼς ἤδη, ἀμάθητος δὲ γραμμάτων ἁπάντων
P 20 καὶ τὸ δὴ λεγόμενον ἀναλφάβητος ὤν, οὐ γεγονὸς ἐν
12 γε Ῥωμαίοις πρότερον τοῦτό [γε]. εἰθισμένον δὲ
γράμματα οἰκεῖα τοῖς βιβλίοις ἐντιθέναι τὸν βασιλέα,
ὅσα ἂν ἐπαγγέλλοντος αὐτοῦ γίνοιτο, αὐτὸς μέντοι 5
οὔτε ἐπαγγέλλειν οὔτε τοῖς πρασσομένοις ξυνεπίστασθαι
13 οἷός τε ἦν. ὃς δὲ παρεδρεύειν αὐτῷ ἔλαχεν, ἀρχὴν
⟨ἔχων⟩ τὴν τοῦ καλουμένου κοιαίστωρος Πρόκλος ὄνο-
14 μα, αὐτὸς δὴ αὐτονόμῳ γνώμῃ ἅπαντα ἔπρασσεν. ὅπως
δὲ μαρτυρίαν τῆς βασιλέως χειρὸς ἔχοιεν, ⟨οἷς δ⟩ὴ 10
15 ἐπίκειται τὸ ἔργον τοῦτο, ἐπενοήθη τάδε. ξύλῳ εἰρ-
γασμένῳ βραχεῖ ἐγκολάψαντες μορφήν τινα γραμμάτων
τεττάρων, ἅπερ ἀναγνῶναι τῇ Λατίνων φωνῇ δύναται,
γραφίδα τε βαφῇ βάψαντες, ᾗ βασιλεῖς γράφειν εἰώ-
16 θασιν, ἐνεχειρίζοντο τῷ βασιλεῖ τούτῳ. καὶ τὸ ξύλον, 15

1—2 ἀμάθητος—ἀναλφάβητος] ὁ δὲ Ἰουστῖνος ἀμάθητος ἦν γραμμάτων κτλ. Suid. s. v. ἀμάθητος, ἀμάθητος γραμμάτων κτλ. Suid. s. v. ἀναλφάβητος, ἦν δὲ ἀμάθητος γραμμ. κτλ. Suid. s. v. Ἰουστῖνος. cf. Mal. 410, 8, Bar-Hebr. p. 80, Ioannes de Niciu 501. Zach. 138 ‖ 3—7 εἰθισμένον—ἦν] cit. Suid. s. v. ἐπαγγέλλει, εἰθισμένον ὂν—ἐντιθέναι, ὅσα—γένοιτο Suid. s. v. ἐπήγγελλεν ‖ 8 Πρόκλος] cf. I 50, 12 ‖ 12—13 γραμμάτων τεττάρων] i. e. legi. cf. Anon. Vales. in: Chron. Min. I 326. Theodericus inlitteratus . . . . laminam auream iussit interrasilem fieri quattuor litteras „legi" habentem; unde si subscribere voluisset, posita lamina super chartam per eam pennam ducebat, ut subscriptio eius tantum videretur. cf. Gardthausen, Griech. Palaeographie, Leipz. 1879, p. 367.

---

3 γε 1 P] om. G | γε 2 inclusi | εἰθισμένον δὲ G] εἰθισμένον. δέον P, εἰθισμένον δὲ ὂν Suid. ‖ 5 γένοιτο Suid. | αὐτὸς μέντοι codd.] Ἰουστῖνος ὁ βασιλεὺς Suid. ‖ 6 ἐπήγγειλεν P] ἐπήγγειλλεν G | πραττομένοις Suid. | ξυνεπίστασθαι codd. et Suid.] malim ξυνεπιγράψασθαι, cf. Hy 2, p. 32, ξυνέπεσθαι aut ξυνεφίστασθαι Reiske ‖ 8 ⟨ἔχων⟩ addidi | κοιαίστορος G ‖ 10—11 ⟨οἷς δὴ⟩ ἐπίκειται Kraš.] ⟨οἷς⟩ ἐπίκειται Maltr., ᾗ ** ἐπίκειται codd. ‖ 13 ἀναγνῶναι] malim ἀνέγνων = legi, cf. supra not. 12—13 ‖ 15 ἐνεχείριζον δὲ τῷ βασιλεῖ ταύτην Reiske

οὗπερ ἐμνήσθην, τῷ βιβλίῳ ἐνθέμενοι, λαβόμενοί τε B 45
τῆς βασιλέως χειρὸς, περιῆγον μὲν ξὺν τῇ γραφίδι ἐς
τῶν τεττάρων γραμμάτων τὸν τύπον, ἐς πάσας τε τὰς
τοῦ ξύλου αὐτὴν περιελίξαντες ἐντομὰς οὕτω δὴ ἀπηλ-
5 λάσσοντο, τοιαῦτα βασιλέως γράμματα φέροντες.

Τὰ μὲν ἀμφὶ τῷ Ἰουστίνῳ ταύτῃ Ῥωμαίοις εἶχε. 17
γυναικὶ δὲ ὄνομα Λουππικίνῃ ξυνῴκει. αὕτη δὲ δούλη
τε καὶ βάρβαρος οὖσα τοῦ πρόσθεν αὐτὴν ἐωνημένου
παλλακὴ γέγονε. καὶ αὐτὴ μὲν ξὺν Ἰουστίνῳ ἐπὶ βίου
10 δυσμαῖς τὴν βασιλείαν ἔσχεν.

Ἰουστῖνος μὲν οὖν οὔτε τι πονηρὸν τοὺς ὑπηκόους 18
ἐργάζεσθαι οὔτε ἀγαθὸν ἴσχυεν. εὐηθείᾳ γὰρ πολλῇ
εἴχετο, ἄγλωττός τε παντάπασιν ὢν καὶ ἀγροικιζόμενος
μάλιστα. ἀδελφιδοῦς δὲ αὐτῷ Ἰουστινιανὸς νέος ὢν 19
15 ἔτι διῳκεῖτο τὴν ἀρχὴν ξύμπασαν καὶ γέγονε Ῥωμαίοις
ξυμφορῶν αἴτιος, οἵας τε καὶ ὅσας ἐς τὸν ἅπαντα αἰῶ-
να οὐδείς που πρότερον ἀκοῇ ἔλαβεν. ἔς τε γὰρ ἀν- 20
θρώπων ἄδικον φόνον καὶ χρημάτων ἁρπαγὴν ἀλλο-
τρίων ῥᾷστα ἐχώρει, καὶ οὐδὲν ἦν αὐτῷ μυριάδας
20 πολλὰς ἐξ ἀνθρώπων ἀφανισθῆναι, καίπερ αὐτῷ αἰτίαν
οὐδεμίαν παρασχομένων. καὶ φυλάσσειν μὲν τῶν καθ- 21
εσταμένων οὐδὲν ἠξίου, ἅπαντα δὲ νεοχμοῦν ἐς ἀεὶ

---

7 Theod. Lect., Cramer An. II p. 108. Vict. Tonn. ad a. 518. Zonar. III 266, 22. Cedren. I 637, 1 ‖ 21—22 καὶ—ἠξίου] cit. Suid. s. v. καθεσταμένος ‖ 21—42, 1 καὶ—ἤθελε] ὁ δὲ φυλάσσειν—ἠξίου, πάντα—ἤθελε Suid. s. v. νεοχμοῦν ‖ 22 Agath. 156, 5

---

2 τῆς G] τῆς τοῦ P ‖ 8 αὐτὴν] hinc rursus S ‖ 9 παλακὴ P | μὲν codd.] μέν ⟨τοι⟩ Piccolos, Kraš. ‖ 12 ἴσχυεν G P] ἴσχυσεν S ‖ 19 ἐχώρει] ἐχ evanuit in G ‖ 20 ἐξ] delevit Alem. ‖ 21—22 καθεσταμένων G P et Suid. s. v. καθεσταμένος] καθεστώτων Suid. s. v. νεοχμοῦν, καθισταμένων S ‖ 22 νεοχμοῦν P, Suid.] νεοχειλοῦν GS

□ ἤθελε, καὶ τὸ ξύμπαν εἰπεῖν, μέγιστος δὴ οὗτος ⟨ἦν⟩
□ 22 διαφθορεὺς τῶν εὖ καθεστώτων. τὸν μὲν οὖν λοι-
□ μόν, ὅσπερ μοι ἐν τοῖς ἔμπροσθεν λόγοις ἐρρήθη,
καίπερ ἐπισκήψαντα εἰς τὴν γῆν ξύμπασαν, διέφυγον
□ ἄνθρωποι οὐχ ἥσσους ἢ ὅσοις διαφθαρῆναι τετύχηκεν, 5
B 46 ἢ οὐδαμῆ τῇ νόσῳ ἁλόντες ἢ περιγενόμενοι, ἐπειδὴ
23 σφίσιν ἁλῶναι ξυνέβη. ἄνδρα δὲ τοῦτον διαφυγεῖν
ἀνθρώπῳ γε ὄντι Ῥωμαίῳ τῶν πάντων οὐδενὶ ξυνη-
νέχθη, ἀλλ' ὥσπερ τι ἄλλο ἐξ οὐρανοῦ πάθος ὅλῳ τῷ
γένει ἐπεισπεσὸν ἀνέπαφον οὐδένα παντελῶς εἴασε. 10
24 τοὺς μὲν γὰρ ἔκτεινεν οὐδενὶ λόγῳ, τοὺς δὲ πενίᾳ
μαχομένους ἀφεὶς ἀθλιωτέρους τῶν τετελευτηκότων
εἰργάζετο, εὐχομένους τὰ παρόντα σφίσι διαλῦσαι θα-
□ νάτῳ οἰκτίστῳ. τινῶν μέντοι ξὺν τοῖς χρήμασι καὶ
25 τὰς ψυχὰς εἷλεν. ἐπεὶ δὲ οὐδὲν ἦν αὐτῷ μόνην κατα- 15
λῦσαι τὴν Ῥωμαίων ἀρχήν, Λιβύης τε καὶ Ἰταλίας οὐκ
ἄλλου του ἕνεκα πεποιῆσθαι τὴν ἐπικράτησιν ἴσχυσεν
□ ἢ ὥστε ξὺν τοῖς πρότερον ὑφ' αὐτῷ οὖσι διολέσαι
26 P 21 τοὺς ταύτῃ ἀνθρώπους. οὔπω γοῦν δεκαταῖος εἰς τὴν

2—5 τὸν—τετύχηκεν] τὸν μὲν οὖν λοιμὸν καίπερ κτλ. Suid. s. v. ἐπισκήπτει ‖ 3 cf. I 249, 8 ‖ 19 Mal. 410 9. Theoph. I 165, 24. Chron. Pasch. I 611, 19. Cedren. I 637, 23. Euagr. IV 2. Niceph. Call. XVII 1. Zonar. III 266, 5. Ioannes de Niciu 501. Marcell. Com. ad a. 519 (2). Vict. Tonn. ad a. 519. Iord. Rom. 360. Zach. 141, 2. Cramer Anecd. II 318

---

1 ⟨ἦν⟩ Kraš.] om. codd. ‖ 4 ἐς Suid. | γῆν om. Suid. ‖ 5 ἢ ὅσοις Suid.] ἢ om. codd. ‖ 6 ἢ περιγενόμενοι P posteriore m. corr.] ἢ * γενόμενοι G, P pr. m., S ‖ 7 ξυνέβη G P] om. S ‖ 8 τῶν πάντων ῥωμαίω G ‖ 10 παντελοῦς S ‖ 11 ἔκτεινεν Alem.] ἔκτενεν codd. ‖ 13 εἰργάζετο G in marg., P S] εἰργάζοντο G in contextu ‖ 17 ἴσχυσεν] ἔσπευσεν Reiske ‖ 19 δεκαταῖος P et Alem.] δεκταῖος G, δεκτέος S

δύναμιν γεγονὼς Ἀμάντιον τῶν ἐν Παλατίῳ εὐνού-
χων ἄρχοντα ξὺν ἑτέροις τισὶν ἐξ αἰτίας οὐδεμιᾶς
ἔκτεινεν, ἄλλο οὐδὲν τῷ ἀνθρώπῳ ἐπενεγκών, πλήν
γε δὴ ὅτι ἐς Ἰωάννην τὸν τῆς πόλεως ἀρχιερέα λόγον
5 τινὰ προπετῆ εἴποι. καὶ ἀπ' αὐτοῦ φοβερώτατος γέ- 27
γονεν ἀνθρώπων ἁπάντων. αὐτίκα δὲ καὶ Βιταλιανὸν □
τὸν τύραννον μετεπέμψατο, ᾧ δὴ τὰ πιστὰ πρότερον
ὑπὲρ τῆς ἀσφαλείας παρέσχετο, διαλαχὼν αὐτῷ τῶν ἐν
Χριστιανοῖς μυστηρίων. ὀλίγῳ τε ὕστερον ἐξ ὑποψίας 28
10 αὐτῷ προσκεκρουκότα ξὺν τοῖς ἐπιτηδείοις ἐν Παλα-
τίῳ λόγῳ οὐδενὶ διεχρήσατο, πίστεις οὕτω δεινοτάτας
ἐμπεδῶσαι οὐδαμῆ ἀξιώσας.

ζʹ. Τοῦ δὲ δήμου ἐκ παλαιοῦ ἐς μοίρας δύο διε- B 47
στηκότος, ὥσπερ μοι ἐν τοῖς ἔμπροσθεν λόγοις ἐρρήθη,
15 μίαν αὐτὸς τὴν Βενέτων ἑταιρισάμενος, ἥ οἱ καὶ τὸ
πρότερον κατεσπουδασμένη ἐτύγχανε, ξυγχεῖν τε καὶ
ξυνταράξαι ἅπαντα ἴσχυσε. καὶ ἀπ' αὐτοῦ ἐς γόνυ
ἐλθεῖν Ῥωμαίοις τὴν πολιτείαν πεποίηκεν. οὐχ ἅπαν- 2
τες δὲ οἱ Βένετοι ἐπισπέσθαι τῇ τοῦδε τοῦ ἀνδρὸς γνώμῃ
20 ἔγνωσαν, ἀλλ' ὅσοι στασιῶται ὄντες ἐτύγχανον. καὶ 3
αὐτοὶ μέντοι προϊόντος ἤδη ⟨τοῦ δει⟩νοῦ σωφρονέ- □
στατοι ἔδοξαν εἶναι ἀνθρώπων ἁπάντων. ἐνδεεστέρως 4
γὰρ ἢ κατὰ τὴν ἐξουσίαν ἡμάρτανον. οὐ μὴν οὐδὲ

6 Mal. 412, 13. Theoph. I 166, 19. Euagr. IV 3. Niceph. Call. XVII 1. Zonar. III 267, 5. Ioannes de Niciu 502. Marcell. Com. ad a. 520. Vict. Tonn. ad a. 523 (3). Iord. Rom. 361. Zach. 142, 5. Cramer Anecd. II 318 || 14 cf. I 123, 10 || 21 cf. III 64, 2

1 Ἀμάντιον Alem.] ἀβάντιον codd. | τῶν G P] τὸν S || 2 οὐδεμιᾶς αἰτίας P || 6 τῶν ἀνθρώπων G || 8 ὑπὲρ] ὑπὸ P | τῶν] καὶ τῶν G rec. m. corr. || 10 προσκεκρουκότων P || 13 εἰς P | δύο G P] om. S || 15 Βενέτων Dind.] βένετον codd. || 19 τοῦ P S] om. G || 21 ⟨τοῦ δει⟩ νοῦ Alem.] νοῦ codd.

τῶν Πρασίνων οἱ στασιῶται ἡσυχῇ ἔμενον, ἀλλὰ καὶ
αὐτοὶ ἔπρασσον ἀεὶ τὰ ἐγκλήματα ἐς ὅσον σφίσι δυ-
νατὰ ἐγεγόνει, καίπερ κατὰ μόνας διηνεκὲς κολαζόμε-
5 νοι. ὅπερ αὐτοὺς ἐς τὸ θρασύνεσθαι πολλῷ ἔτι μᾶλλον
ἐς ἀεὶ ἦγεν. ἀδικούμενοι γὰρ εἰώθασιν ἐς ἀπόνοιαν 5
6 τρέπεσθαι ἄνθρωποι. τότε οὖν τοὺς Βενέτους αὐτοῦ
ῥιπίζοντός τε καὶ διαφανῶς ἐρεθίζοντος ἅπασα κατ'
ἄκρας ἡ Ῥωμαίων ἀρχὴ ἐκινήθη ὥσπερ σεισμοῦ ἢ κα-
τακλυσμοῦ ἐπιπεσόντος ἢ πόλεως ἑκάστης πρὸς τῶν
7 πολεμίων ἁλούσης. πάντα γὰρ ἐν ἅπασι ξυνεταράχθη 10
καὶ οὐδὲν ἐφ' ἑαυτοῦ τὸ λοιπὸν ἔμεινεν, ἀλλ' οἵ τε
νόμοι καὶ ὁ τῆς πολιτείας κόσμος ξυγχύσεως ἐπιγενο-
μένης ἐς πᾶν τοὐναντίον ἐχώρησαν.

8 Καὶ πρῶτα μὲν τοῖς στασιώταις τὰ ἐς τὴν κόμην
B 48 ἐς νεώτερόν τινα μετεβέβλητο τρόπον. ἀπεκείροντο γὰρ 15
9 αὐτὴν οὐδὲν ὁμοίως τοῖς ἄλλοις Ῥωμαίοις. τοῦ μὲν
γὰρ μύστακος καὶ τοῦ γενείου οὐδαμῇ ἥπτοντο, ἀλλ'
αὐτοῖς κατακομᾶν ἐπὶ πλεῖστον ὥσπερ οἱ Πέρσαι ἐς
10 ἀεὶ ἤθελον. τῶν δὲ ἐν τῇ κεφαλῇ τριχῶν τὰ ἔμπρο-
σθεν ἄχρι ἐς τοὺς κροτάφους ἀποτεμόμενοι τὰ ὄπισθεν 20
ἀποκρέμασθαι σφίσιν ἐπὶ μακρότατον λόγῳ οὐδενὶ εἴων,

5—6 ἀδικούμενοι—ἄνθρωποι] cit. Suid. s. v. ἀπόνοια ||
14 — 45, 4 Καὶ πρῶτα — εἶναι] cit. Suid. s. v. ἀπόνοια

1 στασιῶται] στρατιῶται P || 5 ἐς ἀεὶ ἦγεν] ἐσῆγεν Reiske ||
5 εἰς 2 Suid. || 6 οἱ ἄνθρωποι Suid. | αὐτοῦ Alem.] αὐτὸν codd. ||
8 ἐκινήθη ἀρχὴ S || 11 ἐφ' S] ὑφ' G P | αὐτοῦ S || 12 συγχύ-
σεως S || 14 ἐς] ἀμφὶ Suid. || 15 μετεβέβλητο] παραβέβληται Suid. ||
16 αὐτὴν Suid.] αὐτοὶ codd. | Ῥωμαίοις om. Suid. || 18 αὐτοῖς]
αὐτὸν Suid. || 20 ἄχρις ἐς S | ἀποτεμνόμενοι Suid. || 21 σφίσι
codd. | ἐπὶ μακρότατον Suid. om. codd. | οὐδενὶ S] ἐν οὐδενὶ GP

ὥσπερ οἱ Μασσαγέται. διὸ δὴ καὶ Οὐννικὸν τὸ τοι- P 22
οῦτον εἶδος ἐκάλουν.
Ἔπειτα δὲ τὰ ἐς τὰ ἱμάτια εὐπάρυφοι ἠξίουν ἅπαν- 11
τες εἶναι, κομπωδεστέραν ἢ κατὰ τὴν ἑκάστου ἀξίαν
5 *ἐνδιδυσκόμενοι τὴν ἐσθῆτα. κτᾶσθαι γὰρ αὐτοῖς τὰ* 12
τοιαῦτα ἐξ οὐ προσηκόντων παρῆν. τοῦ δὲ χιτῶνος
τὸ ἀμφὶ τὼ χεῖρε μέρος [αὐτοῖς] τὰ μὲν ἐς τὸν καρ- □
πὸν ξυνῄει σφίσιν ἐν στενῷ μάλιστα, τὰ δὲ ἐνθένδε
ἄχρι ἐς ὦμον ἑκάτερον ἐς ἄφατόν τι εὔρους διεκέχυτο □
10 *χρῆμα. ὁσάκις τε ἡ χεὶρ αὐτοῖς σείοιτο ἀναβοῶσιν ἐν* 13 □
τοῖς θεάτροις τε καὶ ἱπποδρομίοις, ἢ ἐγκελευομένοις,
ᾗπερ εἰώθει, ἐς ὕψος αὐτοῖς τοῦτο τὸ μέρος ἀτεχνῶς
ᾕρετο, αἴσθησιν παρεχόμενον τοῖς ἀνοήτοις, ὅτι δὴ
αὐτοῖς οὕτω καλόν τε τὸ σῶμα καὶ ἁδρὸν εἴη [ἂν] ὥστε □
15 *δεῖν γε αὐτοῖς πρὸς τῶν τοιούτων ἱματίων καλύπτε-*
σθαι, οὐκ ἐννοοῦσιν ὅτι δὴ αὐτοῖς τῷ τῆς ἐσθῆτος
ἠραιωμένῳ τε καὶ κενῷ πολλῷ ἔτι μᾶλλον τὸ τοῦ σώ-
ματος ἐξίτηλον διελεγχθείη. αἱ ἐπωμίδες δὲ καὶ ἀνα- 14 B 49

3—18 *Ἔπειτα—διελεγχθείη*] *ἔπειτα ἐς τὰ ἱμάτια ἠξίουν ἅπ. εὐπάρυφοι εἶναι κτλ.* Suid. s. v. *εὐπάρυφα* ‖ 18 — 46, 2 *αἱ — σφίσιν*] *ἐπωμίδες δὲ κτλ.* Suid. s. v. *ἐπωμίς*

---

1 *ὥσπερ*] *ὡς* Suid. | *δὴ* om. Suid. | *οὐνικὸν* *G* ‖ 1—2 *τοιοῦτον*] *αὐτὸ* Suid. ‖ 2 *ἐκαλεῖτο* Suid. ‖ 3 *τὰ ἱμάτια* Suid.] *ταρμάτια* codd. | *εὐπάρυφοι* Suid. s. v. *εὐπάρυφα*, *εὐπάρυφα* Suid. s. v. *ἀπόνοια* ‖ 3—4 *εἶναι ἅπαντες* *G* ‖ 5 *ἐνδυδισκόμενοι* *S* ‖ 7 *τὸ*] *τοῦ* Suid. | *χεῖρε*] *χέρε* *S* | [*αὐτοῖς*] delevit Alem. | *εἰς τὸν* Suid. ‖ 8 *ξυνίει* Suid. | *μάλιστα* *S*] *μάλιστα δὲ* *G P*, *μάλιστα δὴ* Reiske ‖ 9 *ἄχρις ἐς* *S* ‖ 9—10 *εὔρους—χρῆμα*] *εὖρος* Suid. ‖ 10 *τε* om. Suid. | *αὐτοῖς η χεὶρ* *S* et Suid. ‖ 11 *ἱπποδρομίαις* Suid. ‖ 12 *αὐτοῖς*] *αὖ τοῖς* *G P* | *τοῦτο*] *τοῦτο δὴ* Kraš. affert ex Suid. ‖ 12—13 *τοῦτο—παρεχόμενον τοῖς* Suid.] om. codd. ‖ 14 *ἂν εἴη* Suid. ‖ 16 *οὐκ ἐννοοῦσιν*] *καὶ οὐκ ἐνενόουν* Suid. ‖ 17 *ἠραιωμένῳ* Suid.] *ἠρημωμένω* codd. | *κενῷ*] *καινῷ* Suid. ‖ 18 *διελεγχθείη* Suid.] *διελεγχθῇ* codd. | *δὲ* *G S*] *τε* *P*

ξυρίδες καὶ τῶν ὑποδημάτων τὰ πλεῖστα ἐς τῶν Οὔννων τό τε ὄνομα καὶ τὸν τρόπον ἀπεκέκριτο σφίσιν.

15 Ἐσιδηροφόρουν δὲ νύκτωρ μὲν τὰ πρῶτα ἐκ τοῦ ἐμφανοῦς ἅπαντες σχεδὸν, ἐν δέ γε ἡμέρᾳ ξιφίδια παρὰ τὸν μηρὸν δίστομα ὑπὸ τῷ ἱματίῳ ἀποκρυψάμενοι, ξυνιστάμενοί τε κατὰ συμμορίας, ἐπειδὰν ξυσκοτάζοι, ἐλωποδύτουν τοὺς ἐπιεικεστέρους ἔν τε ὅλῃ ἀγορᾷ κἀν τοῖς στενωποῖς, ἀφαιρούμενοι τοὺς παραπεπτωκότας τά τε ἱμάτια καὶ ζώνας τε καὶ περόνας χρυσᾶς καὶ εἴ τι 16 ἄλλο ἐν χερσὶν ἔχοιεν. τινὰς δὲ πρὸς τῇ ἁρπαγῇ καὶ κτείνειν ἠξίουν, ὅπως μηδενὶ τὰ ξυμπεσόντα σφίσιν 17 ἀναγγείλωσιν. οἷς δὴ ἅπαντες καὶ τῶν Βενέτων οἱ μὴ στασιῶται μάλιστα ἤχθοντο, ἐπεὶ οὐδὲ αὐτοὶ ἀπα-18 θεῖς ἔμενον. καὶ ἀπ' αὐτοῦ χαλκαῖς τὸ λοιπὸν ζώναις τε καὶ περόναις καὶ ἱματίοις πολλῷ ἐλασσόνως ἢ κατὰ τὴν ἀξίαν ὡς πλεῖστοι ἐχρῶντο, ὅπως δὴ μὴ τῷ φιλοκάλῳ ἀπόλωνται, καὶ οὔπω δεδυκότος ἡλίου ἐς τὰς 19 οἰκίας ἀναχωροῦντες ἐκρύπτοντο. μηκυνομένου δὲ τοῦ κακοῦ καὶ οὐδεμιᾶς ἐπιστροφῆς ἐς τοὺς ἡμαρτηκότας πρὸς τῆς τῷ δήμῳ ἐφεστώσης ἀρχῆς γινομένης ἐπὶ 20 μέγα τὸ τῶν ἀνδρῶν θράσος ἐς ἀεὶ ᾔρετο. ἁμαρτία γὰρ παρρησίας ἀξιωθεῖσα ἐπ' ἄπειρον φέρεσθαι πέφυκεν, ἐπεὶ καὶ κολαζόμενα τὰ ἐγκλήματα φιλεῖ οὐκ ἐς 21 τὸ παντελὲς ἀποκόπτεσθαι. φύσει γὰρ οἱ πλεῖστοι ἐς τὸ ἁμαρτάνειν εὐπετῶς τρέπονται.

---

1 καὶ τῶν] καὶ evanuit in *G* || 1—2 οὔνων *G* || 2 ἀποκέκριται Suid. || 4 ἅπαντες σχεδὸν] Kraš. conicit σχεδόν τι ἅπαντες || 5 δίστομα *GP*] διστόμωτα *S* || 6 ξυμμορίας *S* | συσκοτάζοι *G* || 7 ὅλῃ] πληθούσῃ Piccolos, τῇ Reiske || 8 ἀφαιρούμενοι Alem.] ἀφανιούμενοι codd. || 9 τε 2 delendum censet Wahler || 12 ἀναγγείλλωσι *G* | ἅπαντες *GP*] ἅπασι *S* || 13 ἐπεὶ δὲ *G* || 17 εἰς *G* || 24 ἀποκόπτεσθαι *GP*] ἀποτέμνεσθαι *S*

Τὰ μὲν οὖν τῶν Βενέτων ἐφέρετο τῇδε. τῶν δὲ 22
ἀντιστασιωτῶν οἱ μὲν ἐς τὴν ἐκείνων ἀπέκλινον μοῖ-
ραν, επιθυμίᾳ τοῦ ξυναμαρτάνειν τε καὶ μὴ δοῦναι τὴν B 50
δίκην, οἱ δὲ φυγῇ ἐχόμενοι ἐς ἑτέρας τινὰς ἐλάνθανον
5 χώρας· πολλοὶ δὲ καὶ αὐτοῦ καταλαμβανόμενοι διε-
φθείροντο πρὸς τῶν ἐναντίων ἢ πρὸς τῆς ἀρχῆς κολα-
ζόμενοι. καὶ ἄλλοι δὲ νεανίαι πολλοὶ ἐς ταύτην δὴ 23
τὴν ἑταιρίαν ξυνέρρεον οὐδεπώποτε πρότερον περὶ
ταῦτα ἐσπουδακότες, ἀλλὰ δυνάμεώς τε καὶ ὕβρεως
10 ἐξουσίᾳ ἐνταῦθα ἠγμένοι. οὐ γάρ ἐστιν οὐδὲν μίασμα 24
ὑπὸ ἀνθρώπων ὠνομασμένον, ὅπερ οὐχ ἡμαρτήθη τε
ἐν τούτῳ τῷ χρόνῳ καὶ τιμωρίας ἐκτὸς ἔμεινε. πρῶ- 25 P23
τον μὲν οὖν σφῶν τοὺς ἀντιστασιώτας διέφθειρον,
προϊόντες δὲ καὶ τοὺς οὐδὲν προσκεκρουκότας αὐτοῖς
15 ἔκτεινον. πολλοὶ δὲ καὶ χρήμασιν αὐτοὺς ἀναπείσαντες 26
ἀπεδείκνυον τοὺς σφετέρους ἐχθρούς, οὕσπερ ἐκεῖνοι
διεχρῶντο εὐθὺς ὄνομα μὲν Πρασίνων αὐτοῖς ἐπενεγ-
κόντες, ἀγνῶτας δὲ σφίσι παντάπασιν ὄντας. καὶ 27
ταῦτα οὐκ ἐν σκότῳ ἔτι οὐδ' ἐν παραβύστῳ ἐγένετο,
20 ἀλλ' ἐν ἅπασι μὲν τῆς ἡμέρας καιροῖς, ἐν ἑκάστῳ δὲ
τῆς πόλεως χώρῳ, ἀνδράσι τοῖς λογιμωτάτοις τῶν
πρασσομένων, ἂν οὕτω τύχοι, ἐν ὀφθαλμοῖς ὄντων.
οὐδὲν γὰρ ἐπικαλύπτειν ἐδέοντο τὰ ἐγκλήματα, ἐπεί 28
τοι αὐτοῖς οὐκ ἐπέκειτο κολάσεως δέος, ἀλλά τις προσ-
25 ῆν καὶ φιλοτιμίας ἀξίωσις, ἰσχύος τε καὶ ἀνδρείας
ἐμποιουμένοις ἐπίδειξιν, ὅτι δὴ πληγῇ μιᾷ τῶν τινα

---

2 εἰς G ‖ 3 τοῦ ξυναμαρτάνειν τε καὶ μὴ scripsi] τοῦ ξυναμαρτάνοντος δήμου codd., τοῦ ξυναμαρτάνοντες δὴ μὴ Kraš., τοῦ ξυναμαρτάνοντας μηδαμοῦ Piccolos ‖ 8 οὐδὲ πώποτε G P ‖ 10 οὐδὲν P S] οὐδὲ G ‖ 15 ἔκτεινον P S] διέφθειρον G ‖ 19 ἔτι οὐδ' S] ἤδη ἢ G, ἔτι ἢ P ‖ 24 τοι G S] τι P ‖ 25 ἀνδρίας S ‖ 26 ἀπόδειξιν S

παραπεπτωκότων γυμνὸν ἔκτεινον, ἐλπίς τε οὐδενὶ τοῦ ἔτι βιώσεσθαι ἐν τῷ τῆς διαίτης σφαλερῷ ἔμενε. 29 *πάντες γὰρ ἐγκεῖσθαι σφίσι τὸν θάνατον τῷ περιδεεῖς* B 51 *εἶναι ὑπώπτευον, καὶ οὔτε τόπος τις ὀχυρὸς οὔτε καιρὸς ἐχέγγυός τινι ἐς τὴν σωτηρίαν ἔδοξεν εἶναι,* 5 *ἐπεὶ κἀν τοῖς τῶν ἱερῶν τιμιωτάτοις κἀν ταῖς πανηγύρεσι λόγῳ οὐδενὶ διεφθείροντο, πίστις τε οὐδεμία πρός τε τῶν φίλων καὶ τῶν ξυγγενῶν ἔτι* □ *ἐλέλειπτο. πολλοὶ γὰρ καὶ τῇ τῶν οἰκειοτάτων ἐπιβουλῇ ἔθνησκον.* 10

30 *Ζήτησις μέντοι οὐδεμία τῶν πεπραγμένων ἐγίνετο.* □ *ἀλλὰ τὰ πάθη ἀπροσδόκητα πᾶσιν ἔπιπτε καὶ τοῖς* 31 *πεπτωκόσιν οὐδεὶς ἤμυνε. νόμου δέ τινος ἢ συμβολαίου δύναμίς τις ἐν τῷ βεβαίῳ τῆς τάξεως οὐκέτι ἐλέλειπτο, ἀλλ' ἐπὶ τὸ βιαιότερον ἅπαντα τετραμμένα* 15 □ *ξυνεταράχθη, τυραννίδι τε ἦν ⟨ἡ⟩ πολιτεία ἐμφερὴς μάλιστα, οὐ καθεστώσῃ μέντοι γε, ἀλλὰ καθ' ἑκάστην* 32 *τε ἀμειβομένῃ καὶ ἀεὶ ἀρχομένῃ. τῶν τε ἀρχόντων αἱ γνῶμαι ὥσπερ ἐκπεπληγμέναις ἐῴκεσαν, ἑνὸς ἀνδρὸς* □ *φόβῳ δεδουλωμένων τὸ φρόνημα, οἵ τε δικάζοντες τὰς* 20 *ὑπὲρ τῶν ἀντιλεγομένων ποιούμενοι γνώσεις τὰς ψήφους ἐδίδοσαν, οὐχ ᾗπερ αὐτοῖς ἐδόκει δίκαιά τε καὶ νόμιμα εἶναι, ἀλλ' ὥσπερ τῶν διαφερομένων ἑκάστῳ τὰ ἐκ τῶν στασιωτῶν δυσμενῆ τε καὶ φίλα ἐτύγχανεν*

---

4 *οὔτε—οὔτε* conicit Kraš. in apparatu crit.] *οὐδὲ—οὐδὲ* codd. ‖ 5 *ἐγχέγγυός* *G* ‖ 6 *κἂν* *G* | *κἂν* 2 *G*, *καὶ* *P* ‖ 11 *μέντοι* *GP*] *τε* *S* ‖ 12 *ἔπιπτεν* *G*, *ἐπέπιπτε* Reiske ‖ 13—14 *ξυμβολαίου* *S* ‖ 16 ⟨*ἡ*⟩ conicit Kraš. in apparatu crit.] om. codd. ‖ 17 *καθεστῶσα* *P* ‖ 17—18 *ἑκάστην τε* *GP*] *ἑκάστην μὲν* *S* ‖ 20 *δεδουλωμένων* coniecit Alem.] *δεδουλωμένοι* codd., *δεδουλωμέναι* Dind. ‖ 21 *γνώσεις* *S*] *γνώμας* *GP* ‖ 24 *στασιωτῶν* *a* in marg. et Alem.] *στρατιωτῶν* *G*, *a* in contextu, *PS* | *φίλα* *GP*] *φίλια* *S*

ὄντα. δικαστῇ γὰρ ὠλιγωρηκότι τῆς ἐκείνων προρρήσεως θάνατος ἡ ζημία ἐπέκειτο.

Καὶ πολλοὶ μὲν δανεισταὶ τὰ γραμματεῖα τοῖς ὠφ- 33
ληκόσι ξὺν βίᾳ πολλῇ οὐδὲν τοῦ ὀφλήματος κεκομισ-
5 μένοι ἀπέδοντο, πολλοὶ δὲ οὔτι ἑκούσιοι ἐλευθέρους □
τοὺς οἰκέτας ἀφῆκαν. φασὶ δὲ καὶ γυναῖκάς τινας 34
πολλὰ ὧν οὐκ ἐβούλοντο τοῖς αὐτῶν δούλοις ἀναγκα- □
σθῆναι. ἤδη δὲ καὶ παῖδες οὐκ ἀφανῶν ἀνδρῶν τού- 35 B 52
τοις δὴ τοῖς νεανίαις ἀναμιχθέντες τοὺς πατέρας ἠνάγ-
10 καζον ἄλλα τε πολλὰ οὔτι ἐθελουσίους ποιεῖν καὶ τὰ
χρήματα σφίσι προΐεσθαι. πολλοὶ δὲ καὶ ἀκούσιοι 36
παῖδες τοῖς στασιώταις ἐς κοίτην ἀνοσίαν οὐκ ἀγνοούν-
των ἠναγκάσθησαν τῶν πατέρων ἐλθεῖν. καὶ γυναιξὶ 37
μέντοι ἀνδράσι ξυνοικούσαις ταὐτὸν τοῦτο ξυνέβη πα- □
15 θεῖν. καὶ λέγεται γυνὴ μία κόσμον περιβεβλημένη □
πολὺν πλεῖν μὲν ξὺν τῷ ἀνδρὶ ἐπί τι προάστειον τῶν
ἐν τῇ ἀντιπέρας ἠπείρῳ· ἐντυχόντων δὲ σφίσιν ἐν τῷ P 24
διάπλῳ τούτῳ τῶν στασιωτῶν, καὶ τοῦ μὲν ἀνδρὸς
αὐτὴν ξὺν ἀπειλῇ ἀφαιρουμένων, ἐς δὲ ἄκατον τὴν
20 οἰκείαν ἐμβιβασάντων, ἐσελθεῖν μὲν ἐς τὴν ἄκατον ξὺν
τοῖς νεανίαις, ἐγκελευσαμένη τῷ ἀνδρὶ λάθρα ἀλλὰ □
θαρσεῖν τε καὶ μηδὲν ἐπ' αὐτῇ δεδιέναι φαῦλον· οὐ 38
γάρ τι ξυμβήσεσθαι ἐς τὸ σῶμα αὐτῇ ὑβρισθῆναι· ἔτι
δὲ τοῦ ἀνδρὸς ξὺν πένθει μεγάλῳ ἐς αὐτὴν βλέποντος □
25 ἐς τε τὴν θάλασσαν καθεῖναι τὸ σῶμα καὶ αὐτίκα
μάλα ἐξ ἀνθρώπων ἀφανισθῆναι.

---

1 γὰρ *PS*] om. *G* ‖ 2 ἐπέκειτο *S*] ἐκέκριτο *GP* ‖ 5 ἀπέδοσαν Herw. ‖ 7 πολλὰ] πρὸς πολλὰ Reiske, post ἐβούλοντο inserendum videtur: πρᾶξαι ‖ 14 τοῦτο *S*] τούτω *GP* ‖ 15 μία Herw.] μὴ codd. ‖ 16 σὺν *G* ‖ 21 ἐγκελευσαμένη scripsi] ἐγκελευσαμένην codd. ‖ 23 τι *PS*] τοι *G*

39 *Τοιαῦτα μὲν ἦν τὰ τούτοις δὴ τότε τοῖς στασιώταις ἐν Βυζαντίῳ τετολμημένα. ἧσσον δὲ ταῦτα τοὺς παραπεπτωκότας ἠνία ἢ τὰ πρὸς Ἰουστινιανοῦ ἐς τὴν πολιτείαν ἁμαρτηθέντα, ἐπεὶ τοῖς παρὰ τῶν κακούργων πεπονθόσι τὰ χαλεπώτατα μέρος ἀφαιρεῖται τὸ πλεῖ-* 5
□ *στον τῆς δι' ἀταξίας ἐμβάσης ἀνίας τὸ προσδοκᾶν ἀεὶ*
40 *τὴν πρὸς τῶν νόμων τε καὶ τῆς ἀρχῆς τίσιν. ἐν γὰρ τῷ πρὸς τὰ μέλλοντα εὐέλπιδες εἶναι ῥᾷόν τε καὶ ἀπονώτερον τὰ παρόντα σφίσι φέρουσιν ἄνθρωποι,*
B 53 *βιαζόμενοι δὲ πρὸς τῆς τῇ πολιτείᾳ ἐφεστώσης ἀρχῆς* 10 *τοῖς τε ξυμπεσοῦσιν ἔτι μᾶλλον, ὡς τὸ εἰκὸς, περιαλγοῦσι καὶ ἐς τὴν ἀπόγνωσιν τῷ ἀπροσδοκήτῳ τῆς τιμω-*
41 *ρίας ἐς ἀεὶ τρέπονται. ἡμάρτανε δὲ οὐχ ὅτι μόνον προσποιεῖσθαι τοὺς κακουμένους ἥκιστα ἤθελεν, ἀλλ' ὅτι προστάτης τῶν στασιωτῶν ἐκ τοῦ ἐμφανοῦς καθί-* 15
42 *στασθαι οὐδαμῇ ἀπηξίου· χρήματά τε γὰρ μεγάλα τοῖς νεανίαις τούτοις προΐετο, καὶ πολλοὺς μὲν ἀμφ' αὐτὸν εἶχε, τινὰς δὲ αὐτῶν ἔς τε τὰς ἀρχὰς καὶ τὰ ἄλλα ἀξιώματα καλεῖν ἐδικαίου.*

η'. Ταῦτα μὲν οὖν ἔν τε Βυζαντίῳ ἐπράττετο καὶ 20 *πόλει ἑκάστῃ. ὥσπερ γὰρ ἄλλο τι νόσημα ἐνθένδε ἀρξάμενον τὸ κακὸν πανταχῇ ἐπέσκηψε τῆς Ῥωμαίων*
2 *ἀρχῆς. βασιλεῖ δὲ τῶν πρασσομένων ἥκιστα ἔμελεν, ἐπεὶ οὐδέ τις αἴσθησις τῷ ἀνθρώπῳ ἐγένετο, καίπερ*

2—4 *ἧσσον—πολιτείαν*] cit. Suid. s. v. *ἧσσον* ‖ 23 *βασιλεῖ* sc. *Ἰουστίνῳ*, cf. Hy 1 p. 15

---

2 *τετολμημένα ἐν βυζαντίῳ* *S* ‖ 3 *Ἰουστινιανὸν* Suid. ‖ 4 *πολιτείαν* codd.] *πόλιν* Suid. | *παρὰ* *PS*] *περὶ* *G* | *κακούργων* *PS*] *κακουργούντων* *G* ‖ 6 *δι' ἀταξίας* Reiske] *διατάξεως* codd., *δὴ ἀναξίως* Piccolos, *διὰ τῶν ἔξω* Alem. ‖ 15 *ἐμφανοῦς* Alem.] *ἀφανοῦς* codd. ‖ 16 *γὰρ* *PS*] om. *G* ‖ 22 *πανταχῇ* *PS*] *πανταχοῦ* *G* ‖ 23 *ἔμελλεν* *G*

αὐτόπτῃ τῶν δρωμένων ἐν τοῖς ἱπποδρομίοις ἀεὶ γινο- □ □
μένῳ. ἠλίθιός τε γὰρ ὑπερφυῶς ἦν καὶ νωθεῖ ὄνῳ 3
ἐμφερὴς μάλιστα καὶ οἷος τῷ τὸν χαλινὸν ἕλκοντι
ἕπεσθαι, συχνά οἱ σειομένων τῶν ὤτων. Ἰουστινιανὸς 4
5 ταῦτά τε ἔπρασσε καὶ ξύμπαντα τἆλλα ἐκύκα. ὅσπερ □
ἐπειδὴ τάχιστα ἐπελάβετο τῆς τοῦ θείου ἀρχῆς, χρή-
ματα μὲν τὰ δημόσια εὐθὺς καταναλοῦν κόσμῳ οὐδενὶ
ἐν σπουδῇ εἶχεν ἅτε αὐτῶν κύριος γεγονώς. Οὔννων 5
γὰρ τοῖς ἀεὶ προστυγχάνουσι πλεῖστα ἐπὶ τῇ πολιτείᾳ P 25 □
10 προΐετο· ἐξ οὗ δὴ ἐφόδοις ἀποκεῖσθαι συχναῖς ξυνέ- B 54 □
βαινε Ῥωμαίων τὴν γῆν. ἀπογευσάμενοι γὰρ οἱ βάρ- 6
βαροι οὗτοι Ῥωμαίων πλούτου μεθίεσθαι οὐκέτι ἠνεί- □
χοντο τῆς ἐνταῦθα φερούσης ὁδοῦ.

Πολλὰ δὲ ῥίπτειν καὶ ἐς θαλαττίους οἰκοδομίας 7
15 τινὰς ἠξίου, βιαζόμενος τὸ τῶν κυμάτων ἐς ἀεὶ ῥόθιον.
ἐκ γὰρ τῆς ἠιόνος ταῖς τῶν λίθων ἐπιβολαῖς ἐπίπρο- 8
σθεν ᾔει φιλονείκως ταῖς ἐκ τοῦ πόντου ἐπιρροαῖς
⟨ἔχων⟩ καὶ καθάπερ ἐξουσίᾳ πλού ⟨του⟩ πρὸς τὴν □ □ □
τῆς θαλάσσης ἀντιφιλοτιμούμενος δύναμιν. τάς τε 9
20 τῶν Ῥωμαίων ἰδίας ἑκάστων οὐσίας ἐκ πάσης γῆς ἐς
αὐτὸν ἤγειρε, τοῖς μὲν ὅ τι δὴ ἔγκλημα οὐχ ἁμαρτη- □
θὲν ἐπικαλέσας, τῶν δὲ καὶ τὴν γνώμην ἅτε αὐτὸν
δεδωρημένων τερατευσάμενος. πολλοὶ δὲ φόνων τε 10

2—4 ἠλίθιός τε—ὤτων] cit. Suid. s. v. ἠλίθιος

1 αὐτόπτῃ τῶν Alem.] αὐτὸν ἢ * τῶν codd. ‖ 1—2 γινομένω *G P*] γινομένων *S* ‖ 2 νωθὴς Suid. ‖ 3 τὸν om. Suid. ‖ 4 ἕπεσθαι] πείθεσθαι Suid. ‖ 8 οὔνων *G P* ‖ 10 ἀποκεῖσθαι] ὑποκεῖσθαι Alem. in marg. ‖ 12 ῥωμαίων *S*] ῥωμαίου *G P* ‖ 15 τινὰς *G P*] om. *S* ‖ 17 ᾔει *S*] ἴει *G P* | φιλονεικῶν Reiske ‖ 18 ⟨ἔχων⟩ Kraš.] om. codd., spatium unius verbi vacuum est in *P S* | καθάπαξ *S* | πλού ⟨του⟩ Alem.] πλοῦ codd. ‖ 19 θαλάττης *G*

καὶ ἄλλων ἐγκλημάτων τοιούτων ἁλόντες, εἶτα ἐξιστάμενοι αὐτῷ τῶν πάντων χρημάτων διέφυγον ὧν ἥμαρτον μὴ δοῦναι τὴν δίκην· ἕτεροι δὲ χωρίων, οὐ δέον, τοῖς πέλας τινῶν, ἂν οὕτω τύχοι, ἀμφισβητοῦντες, ἐπεὶ καταδιαιτήσασθαι τῶν ἀντιδίκων οὐδαμῇ εἶχον τοῦ νόμου σφίσιν ἀντιστατοῦντος, οἱ δὲ τούτοις δὴ τοῖς ἀντιλεγομένοις αὐτὸν δωρησάμενοι ἀπηλλάσσοντο, αὐτοὶ μὲν χάριτι ἀζημίῳ κερδάναντες τὸ γνώριμοι γεγονέναι τῷ ἀνδρὶ τούτῳ, τρόπῳ δὲ παρανομωτάτῳ καταδικάσασθαι τῶν ἀντιδίκων ἰσχύσαντες.

Οὐκ ἄπο δὲ καιροῦ ἡγοῦμαι εἶναι καὶ τὸ εἶδος τούτου δὴ τοῦ ἀνθρώπου σημῆναι. τὸ μὲν οὖν σῶμα οὔτε μακρὸς οὔτε κολοβὸς ἄγαν, ἀλλὰ μέτριος ἦν, οὐ μέντοι ἰσχνὸς, ἀλλὰ κατὰ βραχὺ εὔσαρκος, τὴν δὲ δὴ ὄψιν στρογγύλος τε καὶ οὐκ ἄμορφος· ἐπυρρία γὰρ καὶ δυοῖν ἡμέραιν ἀπόσιτος ὤν. ὅπως δὲ ἅπαν αὐτοῦ τὸ εἶδος συλλήβδην σημήνω, Δομετιανῷ τῷ Οὐεσπασιανοῦ παιδὶ ἐκ τοῦ ἐπὶ πλεῖστον ἐμφερέστερος ἦν, οὗπερ Ῥωμαῖοι τῆς κακοτροπίας ἐς τοσόνδε ἀπώναντο ὥστε οὐδὲ κρεουργήσαντες ὅλον ἐκλῦσαι τὴν ἐς αὐτὸν ὀργὴν ἔγνωσαν, ἀλλὰ δόγμα ἐγεγόνει τῆς συγκλήτου βουλῆς μηδὲ ὄνομα τοῦ βασιλέως τούτου ἐν γράμμασιν εἶναι μηδ' εἰκόνα ἡντιναοῦν αὐτοῦ διασώζεσθαι. τό τε γοῦν ὄνομα τοῦτο πανταχόσε ἐπὶ τῶν τῆς Ῥώμης γραμμάτων καὶ εἴ που ἄλλῃ τοῦτο γεγράφθαι ξυνέβη

1—2 Mal. 424. Cedren. I 642, 12. Cramer Anecd. II 320

8 *μὲν* Reiske] *δὲ* codd. ‖ 10 *καταδικάσασθαι* *GP*] *καταδιαιτήσασθαι* *S* ‖ 12 *ἀνθρώπου* *GP*] *ἀνδρὸς* *S* ‖ 15 *ἐπυρρία* Alem.] *ἐπυρία* codd., *ἐσφρίγα* Reiske ‖ 17—18 *οὐεσπεσιανοῦ* *GP*, *οὐεσπιανοῦ* *S* ‖ 18 *ἐκ τοῦ* *GP*] om. *S* | *ἐμφερέστατος* Kraš. ‖ 20 *κρεουργώσαντες* *G* ‖ 24 *τῶν* *GP*] om. *S*

*ἐκκεκολαμμένον ἰδεῖν μεταξὺ τῶν ἄλλων πάρεστι μό-
νον, καί τις αὐτοῦ εἰκὼν οὐδαμῆ φαίνεται οὖσα τῆς
Ῥωμαίων ἀρχῆς, ὅτι μὴ χαλκῆ μία ἐξ αἰτίας τοιᾶσδε.
ἦν τῷ Δομετιανῷ γυνὴ ἐλευθέριος καὶ ἄλλως κοσμία,* 15
5 *καὶ οὔτε αὐτὴ κακόν τι οὐδένα εἰργάσατο πώποτε τῶν
πάντων ἀνθρώπων, οὔτε τις αὐτῇ τῶν τοῦ ἀνδρὸς
πράξεων ἤρεσκε. διόπερ αὐτὴν ἄγαν ἀγαπωμένην ἡ* 16
*βουλὴ τότε μεταπεμψαμένη αἰτεῖσθαι ὅ τι ἂν αὐτῇ
βουλομένη εἴη ἐκέλευεν. ἡ δὲ τοῦτο μόνον ἱκέτευε,* 17
10 *τό τε Δομετιανοῦ σῶμα λαβοῦσα θάψαι καὶ μίαν αὐτῷ
ἀναθεῖναι εἰκόνα χαλκῆν, ὅποι ἂν ἐθέλοι. καὶ ἡ μὲν* 18
*βουλὴ ξυνεχώρει ταῦτα· ἡ δὲ γυνὴ τῆς ἀπανθρωπίας
τῶν τὸν ἄνδρα κρεουργησάντων ἀπολεῖψαι βουλομένη* B 56
μνημεῖα τῷ ὄπισθεν χρόνῳ ἐπενόει τάδε. τὰ Δομετια- 19
15 *νοῦ ξυλλεξαμένη κρέα, ξυνθεῖσά τε αὐτὰ ἐς τὸ ἀκριβὲς* P 26
*καὶ ἐναρμοσαμένη ἐς ἄλληλα κατέρραψε μὲν τὸ σῶμα
ὅλον, τοῖς δὲ πλάσταις ἐνδειξαμένη ἐν εἰκόνι χαλκῇ
τὸ πάθος ἀπομιμεῖσθαι τοῦτο ἐκέλευεν. οἱ μὲν οὖν* 20
τεχνῖται τὴν εἰκόνα εὐθὺς ἐποίουν. λαβοῦσα δὲ ἡ
20 *γυνὴ ἔστησεν ἐπὶ τῆς ἐς τὸ Καπιτώλιον φερούσης
ἀνόδου ἐν δεξιᾷ ἐκ τῆς ἀγορᾶς ἐνταῦθα ἰόντι, εἶδός
τε τὸ Δομετιανοῦ καὶ τὸ πάθος δηλοῦσαν ἐς τόδε τοῦ
χρόνου. εἰκάσειεν ἄν τις τό τε ἄλλο Ἰουστινιανοῦ* 21
σῶμα καὶ τὴν ὄψιν αὐτὴν καὶ τὰ τοῦ προσώπου
25 *ἅπαντα ἤδη ἐν ταύτῃ τῇ εἰκόνι διαφανῶς εἶναι.*

---

1 *ἐκκεκολαμμένον* Alem.] *ἐγκεκολασμένον* G, *ἐγκεκολαμμένον* PS, ab Alem. adnotat. in marg. codicis G ‖ 3—4 *τοιᾶσδε ἦν. τῷ* G ‖ 4 *ἦν* GP] om. S ‖ 5—6 *οὔτε—οὔτε* conic. Kraš. in app. crit.] *οὐδὲ—οὐδὲ* codd. ‖ 11 *ὅποι ἂν* PS] *ὁποίαν* G ‖ 12 *τῆς* Alem.] *τὰς* codd. ‖ 13 *ἀπολεῖψαι* aut *ἀπελέγξαι* Alem., *ἀπαλεῖψαι* codd., *γρ. ἀποδεῖξαι* S in marg. ‖ 15 *συλλεξαμένη* G ‖ 20 *εἰς* G | *καπιτώλιον* P] *καπετώλιον* GS

22 Τὸ μὲν οὖν εἶδος τοιοῦτός τις ἦν· τὸν δὲ τρόπον ἐς μὲν τὸ ἀκριβὲς οὐκ ἂν φράσαιμι. ἦν γὰρ οὗτος ἀνὴρ κακοῦργός τε καὶ εὐπαράγωγος, ὃν δὴ μωροκακοήθη καλοῦσιν, οὔτε αὐτὸς ἀληθιζόμενος τοῖς ἐντυγχάνουσιν, ἀλλὰ νῷ δολερῷ ἅπαντα ἐς ἀεὶ καὶ λέγων 5 καὶ πράττων, καὶ τοῖς ἐξαπατᾶν ἐθέλουσιν ἀποκείμενος 23 οὐδενὶ πόνῳ. καί τις ἀήθης κρᾶσις ἐν αὐτῷ ἐπεφύκει ἔκ τε ἀνοίας καὶ κακοτροπίας ξυγκεκραμένη. καὶ τάχα τοῦτο ἦν ὅπερ ἐν τοῖς ἄνω χρόνοις τῶν τις ἐκ τοῦ περιπάτου φιλοσόφων ἀπεφθέγξατο, ὡς καὶ τὰ ἐναν- 10 τιώτατα ἐν ἀνθρώπου φύσει ξυμβαίνει εἶναι, ὥσπερ 24 ἐν τῶν χρωμάτων τῇ μίξει. γράφω μέντοι ὧν μοι B 57 ἐφικέσθαι ⟨οὐ⟩ δυνατὸν γέγονεν. ἦν τοίνυν ὁ βασιλεὺς οὗτος εἴρων, δολερός, κατάπλαστος, σκότιος ὀργήν, διπλοῦς, ἄνθρωπος δεινός, ὑποκρίνασθαι γνώμην τελεώ- 15 τατος, καὶ δάκρυα οὐχ ὑφ' ἡδονῆς τινος ἢ πάθους ἐκφέρων, ἀλλὰ τεχνάζων ἐπὶ καιροῦ κατὰ τὸ τῆς χρείας παρόν, ψευδόμενος ἐς ἀεί, οὐκ εἰκῇ μέντοι, ἀλλὰ καὶ γράμματα καὶ ὅρκους δεινοτάτους ἐπὶ τοῖς ξυγκειμένοις πεποιημένος, καὶ ταῦτα πρὸς τοὺς κατηκόους τοὺς αὐ- 20 25 τοῦ. ἀνεχώρει δὲ τῶν τε ὡμολογημένων καὶ ὀμωμοσμένων εὐθύς, ὥσπερ τῶν ἀνδραπόδων τὰ χείριστα, δέει τῶν ἐγκειμένων σφίσι βασάνων διώμοτα εἰς τὴν 26 ὁμολογίαν ἠγμένα. φίλος ἀβέβαιος, ἐχθρὸς ἄσπονδος,

2—4 ἦν—καλοῦσιν] ἦν δὲ κακοῦργός τε κτλ. Suid. s. v. μωροκακοήθη ‖ 13—14 ἦν—ὀργήν] ἦν δὲ Ἰουστινιανὸς δολερὸς κτλ. Suid. s. v. σκότιος

6 ὑποκείμενος G ‖ 12 μέντοι G P] τοίνυν S ‖ 13 ⟨οὐ⟩ addidi] cf. 55, 6 ‖ 15—16 δεινὸς ὑποκρίνασθαι γνώμην τελεωτάτως (τελεώτατα Kraš.) Reiske ‖ 20—21 αὐτοῦ codd. ‖ 21—22 ὠμοσμένων G

φόνων τε καὶ χρημάτων διάπυρος ἐραστής, δύσερίς τε
καὶ νεωτεροποιὸς μάλιστα, ἐς μὲν τὰ κακὰ εὐπαράγωγος,
ἐς δὲ τὰ ἀγαθὰ οὐδεμιᾷ ξυμβουλῇ ἥκων, ἐπινοῆσαι
μὲν τὰ φαῦλα καὶ ἐπιτελέσαι ὀξύς, τῶν δὲ δὴ ἀγαθῶν
5 καὶ αὐτήν που τὴν ἀκοὴν ἁλμυρὰν εἶναι οἰόμενος.
πῶς ἄν τις τῶν Ἰουστινιανοῦ τρόπων ἐφικέσθαι τῷ 27
λόγῳ δυνατὸς εἴη; ταῦτά τε καὶ πολλὰ ἔτι μείζω κακὰ
οὐ κατὰ ἄνθρωπον ἔχων ἐφαίνετο, ἀλλὰ πᾶσαν ἡ φύσις
ἐδόκει τὴν κακοτροπίαν ἀφελομένη τοὺς ἄλλους ἀνθρώ-
10 πους ἐν τῇ τοῦδε τοῦ ἀνδρὸς καταθέσθαι ψυχῇ. ἦν 28
δὲ πρὸς τοῖς ἄλλοις ἐς μὲν τὰς διαβολὰς εὔκολος
ἄγαν, ἐς δὲ τὰς τιμωρίας ὀξύς. οὐ γάρ τι πώποτε
διερευνησάμενος ἔκρινεν, ἀλλ' ἀκούσας τοῦ διαβάλλον-
τος τὴν γνῶσιν εὐθὺς ἐξενεγκεῖν ἔγνω. ἔγραφέ τε 29
15 γράμματα οὐδεμιᾷ ὀκνήσει, χωρίων τε ἁλώσεις καὶ P 27 B 58
πόλεων ἐμπρησμοὺς καὶ ὅλων ἐθνῶν ἀνδραποδισμοὺς
ἐξ αἰτίας οὐδεμιᾶς ἔχοντα. ὥστε εἴ τις ἄνωθεν ἅπαντα 30
τὰ Ῥωμαίοις ξυνενεχθέντα σταθμώμενος ἀντισηκοῦν
αὐτὰ τούτοις ἐθέλοι, δοκεῖ μοι ἂν πλείω φόνον εὑρέ-
20 σθαι ἀνθρώπων πρὸς τοῦ ἀνδρὸς τοῦδε ξυμβάντα ἢ ἐν
τῷ ἄλλῳ παντὶ αἰῶνι γεγενῆσθαι τετύχηκε. τῶν δὲ 31
ἄλλων χρημάτων ἐς μὲν τὴν ἀναίσθητον κτῆσιν ἀοκ-
νότατος ἦν· οὐδὲ γὰρ οὐδὲ σκῆψιν ἠξίου τινὰ παρα-
πέτασμα τοῦ δικαίου προβεβλημένος τῶν οὐ προση-

3—4 cf. I 355, 7

3 ξυμβουλῇ *PS*] ξυμβολῇ *G* | ἥκων codd.] εἴκων Reiske || 6 ἰουστινιανῷ *S* || 12 ἄγαν Alem.] ἅπαν *G P*, ἅπας *S* || 18 ἀντισηκοῦν Alem.] ἀντισηκᾶν codd. || 19 ἐθέλοι *PS*] ἐθέλει *G* | δοκῇ *S* || 22 ἄλλων] malim ἀλλοτρίων, cf. III 41, 18—19 | ἀναίσθητον] ἀναίσχυντον conicit Kraš. || 24 προβεβλημένος *PS*] περιβεβλημένος *G*

κόντων ἐπιβατεύειν· γενομένων δὲ οἰκείων ἑτοιμότατος ἦν ἀλογίστῳ φιλοτιμίᾳ περιφρονεῖν τε καὶ τοῖς βαρ-
32 βάροις προΐεσθαι οὐδενὶ λόγῳ. καὶ τὸ ξύμπαν εἰπεῖν, χρήματα οὔτε αὐτὸς εἶχεν οὔτε ἄλλον τινὰ ἔχειν τῶν ἁπάντων εἴα, ὥσπερ οὐ φιλοχρηματίας ἡσσώμενος, 5 ἀλλὰ φθόνῳ ἐς τοὺς ταῦτα κεκτημένους ἐχόμενος.
33 ἐξοικίσας οὖν ῥᾷστα τὸν πλοῦτον ἐκ Ῥωμαίων τῆς γῆς πενίας δημιουργὸς ἅπασι γέγονεν.

θ'. Ἰουστινιανῷ μὲν οὖν τὰ ἐς τὸν τρόπον ὅσα γε ἡμᾶς δύνασθαι φράσαι τῇδέ πη εἶχεν. ἔγημε δὲ 10 γυναῖκα, ἣ ὅντινα τρόπον γενομένη τε καὶ τραφεῖσα καὶ τῷδε τῷ ἀνθρώπῳ ἐς γάμον ξυναφθεῖσα πρόρριζον Ῥωμαίοις τὴν πολιτείαν ἐξέτριψεν, ἐγὼ δηλώσω.
2 Ἀκάκιος ἦν τις ἐν Βυζαντίῳ θηριοκόμος τῶν ἐν κυνηγεσίῳ θηρίων μοίρας Πρασίνων, ὅνπερ ἀρκοτρόφον 15
3 καλοῦσιν. οὗτος ὁ ἀνὴρ Ἀναστασίου τὴν αὐτοκράτορα ἀρχὴν ἔχοντος ἐτελεύτησε νόσῳ παίδων οἱ ἀπολελειμ-
□ B 59 μένων τριῶν θήλεος γένους, Κομιτοῦς τε καὶ Θεοδώρας καὶ Ἀναστασίας, ὧνπερ ἡ πρεσβυτάτη οὔπω ἑπ-
□ 4 ταέτης γεγονυῖα ἐτύγχανεν. ἡ δὲ γυνὴ ἐκπεσοῦσα 20 ἑτέρῳ ἀνδρὶ ἐς κοίτην ἦλθεν, ὃς δὴ ξὺν αὐτῇ τῶν τε κατὰ τὴν οἰκίαν καὶ τοῦ ἔργου τούτου ἐπιμελήσεσθαι
5 τὸ λοιπὸν ἔμελλεν. ὁ δὲ τῶν Πρασίνων ὀρχηστὴς Ἀστέριος ὄνομα χρήμασι πρὸς ἑτέρου ἀναπεισθεὶς τούτους μὲν τῆς τιμῆς ταύτης ἀπέστησε, τὸν δέ οἱ τὰ 25

14 Alia narrat Mich. Syr. p. 187 ‖ 18 Κομιτοῦς] cf. Mal. 430, 10. Theoph. I 175, 11. Cedren. I 643, 22

3 προσίεσθαι P ‖ 4 οὔτε ἄλλ. Dind.] οὐδὲ ἄλλ. codd. ‖ 5 ἡττώμενος S ‖ 6 ταῦτα G P] ταυτῶ S ‖ 7 ἐξοικίσας G P] ἐξοικιάσας S ‖ 12 ξυναφθεῖσα G P] ξαφθεῖσα S ‖ 18 Κομητοῦς Reiske ‖ 19 ὧνπερ P S] ὧν G

χρήματα δόντα ἐς αὐτὴν ἀντεκατέστησεν οὐδενὶ πόνῳ. □
τοῖς γὰρ ὀρχησταῖς τὰ τοιαῦτα ἐξῆν διοικεῖσθαι κατ'
ἐξουσίαν ᾗ βούλοιντο. ἐπεὶ δὲ τὸν δῆμον ξύμπαντα 6
ἡ γυνὴ ἐν κυνηγεσίῳ ἀγηγερμένον εἶδε, στέμματα ταῖς
5 παισὶν ἔν τε τῇ κεφαλῇ καὶ ἀμφοτέραις ταῖς χερσὶν
ἐνθεμένη ἐς τὴν ἱκετείαν ἐκάθισεν. ἀλλ' οἱ Πράσινοι 7
μὲν προσίεσθαι τὴν ἱκετείαν οὐδαμῇ ἔγνωσαν, Βένετοι P 28
δὲ αὐτὰς ἐπὶ ταύτης δὴ κατεστήσαντο τῆς τιμῆς, ἐπεὶ
ὁ θηριοκόμος ἐτετελευτήκει καὶ αὐτοῖς ἔναγχος. ἐπεὶ 8
10 δὲ τὰ παιδία ταῦτα ἐς ἥβην ἦλθε, καθῆκεν αὐτὰ ἐπὶ
τῆς ἐνταῦθα σκηνῆς αὐτίκα ἡ μήτηρ, ἐπεὶ εὐπρεπεῖς
τὴν ὄψιν ἦσαν, οὐ μέντοι ὑπὸ χρόνον τὸν αὐτὸν ἁπά-
σας, ἀλλ' ὡς ἑκάστη ἔδοξέν οἱ ἐς τὸ ἔργον τοῦτο
ὡραία εἶναι. ἡ μὲν οὖν πρώτη Κομιτὼ ἤδη ἐν ταῖς 9 □
15 καθ' αὑτὴν ἑταίραις λαμπρὰ ἐγεγόνει· Θεοδώρα δὲ ἡ
μετ' ἐκείνην χιτωνίσκον χειριδωτὸν ἀμπεχομένη δούλῳ
παιδὶ πρέποντα τά τε ἄλλα ὑπηρετοῦσα εἵπετο καὶ τὸ
βάθρον ἐπὶ τῶν ὤμων ἀεὶ ἔφερεν, ἐφ' οὗπερ ἐκείνη
ἐν τοῖς ξυλλόγοις καθῆσθαι εἰώθει. τέως μὲν οὖν 10
20 ἄωρος οὖσα ἡ Θεοδώρα ἐς κοίτην ἀνδρὶ ξυνιέναι οὐ-
δαμῇ εἶχεν, οὐδὲ οἷα γυνὴ μίγνυσθαι· ἡ δὲ τοῖς κακο- B 60
δαιμονοῦσιν ἀνδρείαν τινὰ μισητίαν ⟨ἀν⟩εμίσγετο, καὶ □
ταῦτα δούλοις, ὅσοι τοῖς κεκτημένοις ἑπόμενοι ἐς τὸ
θέατρον πάρεργον τῆς οὔσης αὐτοῖς εὐκαιρίας τὸν □
25 ὄλεθρον τοῦτον εἰργάζοντο, ἔν τε μαστροπείῳ πολὺν

16—17 χιτωνίσκον—πρέποντα] χιτωνίσκος χειριδωτός, οἷος πρέπει δούλῳ παιδί Suid. s. v. χιτών

1 ἀντικατέστησεν P ‖ 3 ᾗ Alem.] εἰ codd. ‖ 7 προσίεσθαι G P] προΐεσθαι μὲν S ‖ 11 εὐπρεπεῖς G P] ἀπρεπεῖς S ‖ 18 ἀεὶ ἐπὶ τῶν ὤμων P ‖ 22 ἀνδρίαν S | μισητίαν Dind.] μισητείαν Alem., μισητὴν codd. | ⟨ἀν⟩ εμίσγετο Kraš.] ἐμίσγετο codd. | 24 εὐκαιρίας Alem.] ἀκαιρίας codd. ‖ 25 μαστρωπείῳ G

τινα χρόνον ἐπὶ ταύτῃ δὴ τῇ παρὰ φύσιν ἐργασίᾳ τοῦ
11 σώματος διατριβὴν εἶχεν. ἐπειδὴ δὲ τάχιστα ἔς τε
τὴν ἥβην ἀφίκετο καὶ ὡραία ἦν ἤδη, εἰς τὰς ἐπὶ σκη-
νῆς καθῆκεν αὐτὴν, ἑταίρα τε εὐθὺς ἐγεγόνει, οἵανπερ
12 οἱ πάλαι ἄνθρωποι ἐκάλουν πεζήν. οὐ γὰρ αὐλήτρια 5
οὐδὲ ψάλτρια ἦν, οὐ μὴν οὐδὲ τὰ ἐς τὴν ὀρχήστραν
αὐτῇ ἤσκητο, ἀλλὰ τὴν ὥραν τοῖς ἀεὶ περιπίπτουσιν
ἀπεδίδοτο μόνον ἐκ παντὸς ἐργαζομένη τοῦ σώματος.
13 εἶτα τοῖς μίμοις τὰ ἐς τὸ θέατρον πάντα ὡμίλει καὶ
τῶν ἐνταῦθα ἐπιτηδευμάτων μετεῖχεν αὐτοῖς, γελωτο- 10
ποιοῖς τισι βωμολοχίαις ὑπηρετοῦσα. ἦν γὰρ ἀστεία
διαφερόντως καὶ σκώπτρια, ἀπόβλεπτός τε ἐκ τοῦ ἔργου
14 εὐθὺς ἐγεγόνει. οὐ γάρ τινος αἰδοῦς τῇ ἀνθρώπῳ
μετῆν ἢ διατραπεῖσάν τις αὐτὴν πώποτε εἶδεν, ἀλλ'
ἐς ἀναισχύντους ὑπουργίας οὐδεμιᾷ ὀκνήσει ἐχώρει, 15
καὶ τοιαύτη τις ἦν οἵα ῥαπιζομένη μὲν καὶ κατὰ κόρ-
ρης πατασσομένη χαριεντίζειν τε καὶ μέγιστα ἀνακαγ-
χάζειν, ἀποδυσαμένη τε τά τε πρόσω καὶ τὰ ὀπίσω
τοῖς ἐντυγχάνουσι γυμνὰ ἐπιδεῖξαι, ἃ τοῖς ἀνδράσι
θέμις ἄδηλά τε καὶ ἀφανῆ εἶναι. 20

15 Ἐς δὲ τοὺς ἐραστὰς ἐχλεύαζέ τε βλακεύουσα καὶ νεω-
B 61 τέραις ἀεὶ τῶν μίξεων ἐνδιαθρυπτομένη ἐπιτεχνήσεσι
παραστήσασθαι τὰς τῶν ἀκολάστων ψυχὰς ἐς ἀεὶ ἴσχυεν,
ἐπεὶ οὐδὲ πειρᾶσθαι πρός του τῶν ἐντυγχανόντων

---

9 videtur fuisse theatrum, quod dicebant Πόρνας. Nov. 105, cap. 1

---

3 ἐς S ‖ 5 πάλαι G S] παλαιοὶ P ‖ 6 οὐδὲ 1 Dind.] οὔτε codd. ‖ 8 ἐκ codd.] ⟨οὐκ⟩ ἐκ Reiske ‖ 16 μὲν P S] μέντε G ‖ 17 χαριεντίζειν τε codd.] χαριεντίζεσθαι Piccolos, frustra ‖ 18 τε τά codd.] δὲ τά Piccolos

ἠξίου, ἀλλ' ἀνάπαλιν αὐτὴ γελοιάζουσά τε καὶ βωμο-
λόχως ἰσχιάζουσα τοὺς παραπεπτωκότας ἅπαντας, ἄλλως
τε καὶ ἀγενείους ὄντας ἐπείρα. ἥσσων γάρ τις οὕτως 16
ἡδονῆς ἀπάσης οὐδαμῆ γέγονεν· ἐπεὶ καὶ ἐς ξυναγώ-
5 γιμον δεῖπνον πολλάκις ἐλθοῦσα ξὺν νεανίαις δέκα,
ἢ τούτων πλείοσιν, ἰσχύϊ τε σώματος ἀκμάζουσι λίαν
καὶ τὸ λαγνεύειν πεποιημένοις ἔργον, ξυνεκοιτάζετο
μὲν τοῖς συνδείπνοις ἅπασι τὴν νύκτα ὅλην, ἐπειδὰν
δὲ πρὸς τὸ ἔργον τοῦτο πάντες ἀπείποιεν, ἥδε παρὰ
10 τοὺς ἐκείνων οἰκέτας ἰοῦσα τριάκοντα ὄντας, ἂν οὕτω
τύχοι, ξυνεδυάζετο μὲν αὐτῶν ἑκάστῳ, κόρον δὲ οὐδ'
ὣς ταύτης δὴ τῆς μισητίας ἐλάμβανε.

Καί ποτε ἐς τῶν τινος ἐπιφανῶν οἰκίαν ἐλθοῦσα 17
μεταξὺ τοῦ πότου θεωμένων αὐτὴν, ὥς φασι, τῶν ξυμ-
15 ποτῶν ἁπάντων, ἐς τὸ προὖχον ἀναβᾶσα τῆς κλίνης
ἀμφὶ τὰ πρὸς ποδῶν ἀνασύρασά τε τὰ ἱμάτια οὐδενὶ
κόσμῳ ἐνταῦθα οὐκ ἀπηξίωσε τὴν ἀκολασίαν ἐνδείκνυ-
σθαι. ἡ δὲ κἀκ τριῶν τρυπημάτων ἐργαζομένη ἐνε- 18
κάλει τῇ φύσει, δυσφορουμένη ὅτι δὴ μὴ καὶ τοὺς
20 τιτθοὺς αὐτῇ εὐρύτερον ἢ νῦν εἰσι τρυπῴη, ὅπως καὶ
ἄλλην ἐνταῦθα μίξιν ἐπιτεχνᾶσθαι δυνατὴ εἴη. καὶ 19
συχνὰ μὲν ἐκύει, πάντα δὲ σχεδὸν τεχνάζουσα ἐξαμ- B 62
βλίσκειν εὐθὺς ἴσχυε.

Πολλάκις δὲ κἀν τῷ θεάτρῳ ὑπὸ θεατῇ παντὶ τῷ 20
25 δήμῳ ἀπεδύσατό τε καὶ γυμνὴ διὰ μέσου ἐγένετο,
ἀμφὶ τὰ αἰδοῖα καὶ τοὺς βουβῶνας διάζωμα ἔχουσα

1 γελιάζουσα S ‖ 2 ἰσχνάζουσα G ‖ 3—4 ἡδονῆς οὕτως G ‖ 8 τὴν νύκτα ὅλην τοῖς συνδείπνοις ἅπασι G ‖ 16 ἀμφὶ τὰ πρὸς ποδῶν] haec verba Piccolos censet delenda esse aut scribendum: ἐνέφυ τῳ πρὸς ποδῶν, Alem. adnotavit in G: aliquid deest | ἀνασύρασά GP] ἀνασυράσασά S ‖ 20 αὐτῇ] αὐτῷ P ‖ 21 ἄλλην S] ἄλλων GP ‖ 22 ἐκύει] ἐκεῖ P ‖ 25 μέσου PS] μέσον G

μόνον, οὐχ ὅτι μέντοι ᾐσχύνετο καὶ ταῦτα τῷ δήμῳ δεικνύναι, ἀλλ' ὅτι ἐνταῦθα γυμνῷ παντάπασι παριέναι οὐδενὶ ἔξεστιν ὅτι μὴ τῷ ἀμφὶ τοὺς βουβῶνας διάζωμα ἔχοντι. οὕτω μέντοι τοῦ σχήματος ἔχουσα, 21 *ἀναπεπτωκυῖά τε ἐν τῷ ἐδάφει ὑπτία ἔκειτο. θῆτες* 5 □ *δέ τινες, οἷς δὴ τὸ ἔργον τόδε ἐνέκειτο, κριθὰς αὐτῇ ὕπερθεν τῶν αἰδοίων ἐρρίπτουν, ἃς δὴ οἱ χῆνες, οἳ ἐς τοῦτο παρεσκευασμένοι ἐτύγχανον, τοῖς στόμασιν* 22 *ἐνθένδε κατὰ μίαν ἀνελόμενοι ἤσθιον. ἡ δὲ οὐχ ὅτι* □ *οὐκ ἐρυθριῶσα ἐξανίστατο, ἀλλὰ καὶ φιλοτιμουμένη* 10 *ἐπὶ ταύτῃ δὴ τῇ πράξει ἐῴκει. ἦν γὰρ οὐκ ἀναίσχυντος μόνον, ἀλλὰ καὶ ἀναισχυντοποιὸς πάντων μά-* 23 *λιστα. πολλάκις δὲ καὶ ἀποδυσαμένη ξὺν τοῖς μίμοις* □ *ἐν μέσῳ εἱστήκει ἐπὶ τῆς σκηνῆς λορδουμένη τε καὶ* □ *τὰ ὀπίσω ἀποκεντῶσα τοῖς τε διάπειραν αὐτῆς ἔχουσι* 15 *καὶ τοῖς οὔπω πεπλησιακόσι τὰ ἐκ παλαίστρας τῆς αὐ-* 24 *τῇ εἰωθυίας βρενθυομένη. οὕτω δὲ ἀκολάστως ἐς τὸ σῶμα τὸ αὐτῆς ὕβριζεν, ὥστε τὴν αἰδῶ οὐκ ἐν τῇ τῆς φύσεως χώρᾳ κατὰ ταὐτὰ ταῖς ἄλλαις γυναιξὶν, ἀλλ'* 25 *ἐν τῷ προσώπῳ ἔχειν ἐδόκει. οἱ μὲν οὖν αὐτῇ πλη-* 20 *σιάζοντες ἔνδηλοι εὐθὺς ἀπ' αὐτοῦ ἦσαν, ὅτι δὴ οὐ κατὰ νόμον τῆς φύσεως τὰς μίξεις ποιοῦνται· ὅσοι δὲ* B 63 *αὐτῇ ἐν ἀγορᾷ τῶν ἐπιεικεστέρων ἐντύχοιεν, ἀποκλινόμενοι σπουδῇ ὑπεχώρουν, μή του τῶν ἱματίων τῆς*

13—15 *ἀποδυσαμένη—ἀποκεντῶσα*] cit. Suid. s. v. *λορδουμένη*

---

3 *βουβῶνας* *P S*] *βουβῶνας μόνον* *G* ‖ 6 *ἐνέκειτο*] *ἐπέκειτο* conic. Kraš. ‖ 14 *ἐπὶ τῆς σκηνῆς* *P S*] om. *G.*, Suid. | *λορδουμένη*] *λ* est in rasura in *P*, *πορδουμένη* *G S* ‖ 15 *ἀποκοντῶσα* *G*, Suid. ‖ 17 *εἰωθείας* *S* ‖ 18 *αὐτῆς* scripsi] *αὐτῆς* codd. ‖ 22 *τῆς φύσεως* *G S*] om. *P* ‖ 24 *μή του* codd.] *μή που* Alem.

ἀνθρώπου ἀψάμενοι μεταλαχεῖν τοῦ μιάσματος τούτου
δόξειαν. ἦν γὰρ τοῖς ὁρῶσιν ἄλλως τε καὶ ἀρχομένης 26
ἡμέρας βλάσφημος οἰωνός. ἐς μέντοι τὰς συνθεατρίας
ἀγριώτατα εἰώθει ἐς ἀεὶ σκορπιαίνεσθαι· βασκανίᾳ
5 γὰρ πολλῇ εἴχετο.

Ἐκηβόλῳ δὲ ὕστερον Τυρίῳ ἀνδρὶ τὴν ἀρχὴν πα- 27
ραλαβόντι Πενταπόλεως ἐς τὰ αἴσχιστα ὑπηρετήσουσα
εἵπετο, ἀλλά τι τῷ ἀνθρώπῳ προσκεκρουκυῖα ἐνθένδε
ὅτι τάχιστα ἀπηλαύνετο· διὸ δὴ αὐτῇ ἀπορεῖσθαι τῶν
10 ἀναγκαίων ξυνέπεσεν, ἅπερ τὸ λοιπὸν ἐπορίζετο τὴν
ἐς τὸ σῶμα παρανομίαν, ἧπερ εἴθιστο, ἐργαζομένη.
ἐς μὲν οὖν Ἀλεξάνδρειαν τὰ πρῶτα ἧκεν. ἔπειτα δὲ 28
πᾶσαν τὴν ἕω περιελθοῦσα ἐς Βυζάντιον ἐπανῆκεν,
ἐργασίᾳ χρωμένη ἐν πόλει ἑκάστῃ, ἥν γε ὀνομάζοντι,
15 οἶμαι, ἀνθρώπῳ οὐκ ἄν ποτε ἵλεως ὁ θεὸς εἴη, ὥσπερ
οὐκ ἀνεχομένου τοῦ δαίμονος χῶρόν τινα τῆς Θεοδώ-
ρας ἀκολασίας ἀγνῶτα εἶναι.

Οὕτω μὲν οὖν τετέχθαι τε τῇδε τῇ γυναικὶ καὶ 29
τετράφθαι ξυνέβη καὶ ἐς δημοσίους πολλὰς διαβοήτῳ □
20 γεγενῆσθαι καὶ ἐς πάντας ἀνθρώπους. ἐπεὶ δὲ ἀφί- 30
κετο ἐς Βυζάντιον αὖθις, ἠράσθη αὐτῆς Ἰουστινιανὸς P 29
ἔρωτα ἐξαίσιον οἷον, καὶ τὰ πρῶτα ἐπλησίαζεν ὡς
ἐρωμένῃ, καίπερ αὐτὴν ἀναγαγὼν ἐς τὸ τῶν πατρικίων

3—5 ἐς μέντοι—εἴχετο Suid. s. v. σκορπιαίνεσθαι ‖ 13 cf. Georg. Cod. de aed. CP. 104, 10

---

4 ἀγριώτατα om. Suid. ‖ 7 ὑπηρετήσασα S ‖ 9 ἀπελαύνετο S ‖ 12 ἧκεν G P] ἦλθεν S ‖ 14 ἐργασίαν S | ἐν G P] ἐν τῇ S ‖ 18 οὖν S] om. G P | τετάχθαι S | τῇ om. S ‖ 19 τεθράφθαι?, καὶ om. S | ἐς δημοσίους πολλὰς διαβοήτως codd., ὑπὲρ δημοσίους πολλὰς διαβόητον Alem., ἐς δημοσίους πόρνας διαβοήτῳ Reiske: unde διαβοήτῳ ascivit Dind. ‖ 20 καὶ om. S ‖ 21 ὁ ἰουστινιανὸς S

31 ἀξίωμα. δύναμιν τοίνυν ἐξαισίαν τινὰ καὶ χρήματα
B 64 ἐπιεικῶς μεγάλα περιβαλέσθαι ἡ Θεοδώρα εὐθὺς ἴσχυσε. πάντων γὰρ ἥδιστον τῷ ἀνθρώπῳ ἐφαίνετο, ὃ δὴ ξυμβαίνειν τοῖς ἐκτόπως ἐρῶσι φιλεῖ, χάριτάς τε πάσας καὶ χρήματα πάντα τῇ ἐρωμένῃ χαρίζεσθαι. 5
32 ἐγίνετό τε ἡ πολιτεία τοῦ ἔρωτος τοῦδε ὑπέκκαυμα. ξὺν αὐτῇ τοίνυν πολλῷ ἔτι μᾶλλον τὸν δῆμον διέφθειρεν οὐκ ἐνταῦθα μόνον, ἀλλ' ἀνὰ πᾶσαν τὴν Ῥω-
33 μαίων ἀρχήν. ἄμφω γὰρ μοίρας τῆς Βενέτων ἐκ παλαιοῦ ὄντες ἐν πολλῇ ἐξουσίᾳ τούτοις δὴ τοῖς στα- 10
34 σιώταις τὰ ἐς τὴν πολιτείαν πράγματα εθεντο. χρόνῳ δὲ πολλῷ υστερον τὸ πλεῖστον τοῦ κακοῦ ἐλελωφήκει τρόπῳ τοιῷδε.

35 Ἰουστινιανῷ ἐν ἡμέραις πολλαῖς νοσῆσαι ξυνέβη, □ ἐν δὲ τῇ νόσῳ ταύτῃ ἐς τόσον κινδύνου ἀφίκετο ὥστε 15 καὶ ἐλέχθη ὅτι δὴ ἀποθάνοι· οἱ μέντοι στασιῶται ταῦτα ἅπερ ἐρρήθη ἡμάρτανον, καί τινα Ὑπάτιον οὐκ ἀφανῆ ἄνδρα δι' ἡμέρας ἐν τῷ τῆς Σοφίας ἱερῷ διε-
□ 36 χρήσαντο. ἐξειργασμένου δὲ τοῦ κακοῦ ἡ τοῦ ἔργου ταραχὴ ἐς βασιλέα ἦλθε, τῶν τε ἀμφ' αὐτὸν ἕκαστος, 20 ἐπεὶ τῆς Ἰουστινιανοῦ ἀπουσίας ἐλάβετο, τὴν τῶν πεπραγμένων ἀτοπίαν ἐπὶ μέγα αἴρειν ἐν σπουδῇ ἐποιεῖτο, καταλέγων ἐξ ἀρχῆς ἅπαντα, ὅσα δὴ γενέσθαι
37 τετύχηκε. τότε δὴ ὁ βασιλεὺς τῷ τῆς πόλεως ἐπάρχῳ

---

24 βασιλεὺς] scil. Ἰουστῖνος

---

2 εὐθὺς ἡ θεοδώρα *P* ‖ 2—3 ἴσχυσεν *S* ‖ 6 πολιτεία codd.] πολυτελεία Alem. et edd. ‖ 9 βενετῶν *S* ‖ 11 ἔθεντο πράγματα *G* ‖ 19 κακοῦ ἡ τοῦ scripsi] κακοῦντος codd., κακοῦ τοσούτου vel potius κακοῦ καὶ ἀνοσίου Reiske, κακουργήματος, ἕρπουσα ταραχὴ κτλ. Piccolos, cf. Hy 2 p. 32 ‖ 20 ἀμφ' αὐτὸν codd. ‖ 24 ἐπάρχω *G P*] ὑπάρχω *S*

ἐπέστελλε τῶν πεπραγμένων ἁπάντων ποιεῖσθαι τὰς
τίσεις. ἦν δὲ οὗτος ὁ ἀνὴρ Θεόδοτος ὄνομα, ὅνπερ
Κολοκύνθιον ἐπίκλησιν ἐκάλουν. καὶ ὃς διερευνώμε- 38
νος ἅπαντα πολλοὺς μὲν τῶν κακούργων ἑλεῖν τε καὶ
5 διαχρήσασθαι νόμῳ ἴσχυσε πολλοὶ δὲ καὶ διαλαθόντες B 65
ἐσώθησαν. μεταξὺ γὰρ ἐπιαπολέσθαι αὐτοὺς πράγ- 39
μασι Ῥωμαίων ἔδει. ὁ δὲ παράδοξον διασωθεὶς ἐξά-
πινα σωτηρίαν καὶ τὸν Θεόδοτον κτεῖναι ἅτε φαρμα-
κέα καὶ μάγον εὐθὺς ἐνεχείρει. ἐπεὶ ⟨δὲ⟩ οὐκ εἶχεν 40
10 ὅτῳ ποτὲ προσχήματι χρώμενος τὸν ἄνθρωπον δια-
φθείρειε, τῶν οἱ ἐπιτηδείων τινὰς πικρότατα αἰκισά-
μενος ἠνάγκαζε λόγους ὡς ἥκιστα ὑγιεῖς ἐπ' αὐτῷ
φθέγγεσθαι. πάντων δέ οἱ ἐκποδὼν ἱσταμένων καὶ 41
σιωπῇ τὴν ἐς τὸν Θεόδοτον ὀδυρομένων ἐπιβουλήν,
15 μόνος ὁ Πρόκλος τὴν τοῦ καλουμένου κοιαίστωρος
ἔχων ἀρχὴν καθαρὸν ἀπέφαινε τοῦ ἐγκλήματος εἶναι
τὸν ἄνθρωπον καὶ θανάτου οὐδαμῇ ἄξιον. διὸ δὴ ὁ 42
Θεόδοτος ἐς τὰ Ἱεροσόλυμα βασιλέως κομίζεται γνώμῃ.
γνοὺς δὲ ἥκειν τινὰς ἐνταῦθα, οἵπερ αὐτὸν διαφθε-
20 ροῦσιν, ἐν τῷ ἱερῷ ἦν κρυπτόμενος τὸν ἅπαντα χρό-
νον, οὕτω τε διαβιοὺς ἐτελεύτησε.

---

3 Mal. 416, 8. cf. Theoph. I 166, 26. Ioannes de Niciu 503. Cedren. I 638, 5

---

4 ἅπαντα Reiske] ἅπαντας codd. ‖ 6—7 ἐπιαπολέσθαι αὐτοὺς πράγμασι ῥωμαίους (ῥωμαίων coniecit Maltr.) ἔδει codd., ἐπιπολάσαι αὐτοὺς τοῖς πράγμασι Ῥωμαίων ἔδει Piccolos, fortasse scribendum: ⟨περιῆσαν⟩ ἐπεὶ ἀπολέσαι αὐτοὺς πράγμασι Ῥωμαίους ἔδει ⟨δεινοῖς⟩, cf. 39, 17. Alia coniecerunt Reiske et Kraš. ‖ 7—8 ἐξάπινα S] om. G P ‖ 9 ⟨δὲ⟩ addidit Alem. ‖ 10 προσχήματι P S] om. G ‖ 12 λόγους G P] λόγους τινὰς S ‖ 15 Πρόκλος] πάτροκλος P ‖ 17 ὁ S] om. G P ‖ 19—20 διαφθεροῦσιν coniecit Dind.] διαφθείρουσιν codd. ‖ 20—21 ἦν τὸν ἅπαντα χρόνον κρυπτόμενος S

43 *Τὰ μὲν οὖν ἀμφὶ Θεοδότῳ ταύτῃ πῃ ἔσχεν. οἱ δὲ στασιῶται σωφρονέστατοι τὸ ἐντεῦθεν ἐγένοντο ἀν-* 44 *θρώπων ἁπάντων. οὐ γὰρ ἔτι τὰ τοιαῦτα ἐξαμαρτάνειν ἠνείχοντο, καίπερ σφίσι παρὸν ἀδεέστερον τῇ* 45 *ἐς τὴν δίαιταν παρανομίᾳ χρῆσθαι. τεκμήριον δέ·* 5 *ὀλίγων γάρ τινων ὕστερον τόλμαν τὴν ὁμοίαν ἐνδει-* 46 *ξαμένων τίσις οὐδεμία ἐς αὐτοὺς γέγονεν. οἱ γὰρ τοῦ κολάζειν τὴν ἐξουσίαν ἀεὶ ἔχοντες παρρησίαν τοῦ δια-* □ B 66 *λανθάνειν τοῖσδε τὰ δεινὰ εἰργασμένοις παρείχοντο,* P 30 *ταύτῃ αὐτοὺς τῇ ξυγχωρήσει ἐς τὸ τοῖς νόμοις ἐπεμ-* 10 *βαίνειν ἐνάγοντες.*

47 *Ἕως μὲν οὖν ἡ βασιλὶς περιῆν ἔτι, γυναῖκα ἐγγυητὴν Ἰουστινιανὸς τὴν Θεοδώραν ποιήσασθαι οὐδεμιᾷ μηχανῇ εἶχεν. ἐν τούτῳ γὰρ μόνον ἀπ' ἐναντίας αὐτῷ* 48 *ἐχώρει, καίπερ ἀντιστατοῦσα τῶν ἄλλων οὐδέν. πονη-* 15 *ρίας μὲν γὰρ ἡ γυνὴ ἀπωτάτω οὖσα ἐτύγχανεν, ἄγροικος δὲ ἦν κομιδῆ καὶ βάρβαρος γένος, ὥσπερ μοι* □ □ 49 *εἴρηται. ἀντιλαβέσθαι τε ἀρετῆς οὐδαμῆ ἴσχυσεν, ἀλλ' ἀπειροτάτη οὖσα διατετέλεκε τῶν κατὰ τὴν πολιτείαν πραγμάτων, ἥ γε οὐδὲ ξὺν τῷ ὀνόματι τῷ αὐτῆς ἰδίῳ* 20 *ἅτε καταγελάστῳ ὄντι ἐς Παλάτιον ἦλθεν, ἀλλ' Εὐφημία ἐπικληθεῖσα. χρόνῳ δὲ ὕστερον τῇ βασιλίδι* □ 50 *μὲν ἀπογενέσθαι ξυνέπεσεν. ὁ δὲ ἠλιθιάζων τε καὶ κομιδῆ ἐσχατογέρων γενόμενος, πρὸς τῶν ἀρχομένων γέλωτα ὦφλεν, ὀλιγωρίᾳ τε πολλῇ ἐς αὐτὸν ἐχόμενοι* 25 *ἅπαντες ἅτε τῶν πρασσομένων οὐ ξυνιέντος, ὑπερεώ-*

---

18 cf. 41, 8 ‖ 21 Theoph. I 164, 31. Theod. Lect. p. 565. Vict. Tonn. ad a. 518 (2). Zonar. III 266. Cedren. I 637, 1

---

1 *θεόδοτον* G ‖ 9 *τοῖσδε*] malim *τοῖς* | *παρείχοντο* G P] *ἠνείχοντο* S ‖ 16 *ἀπωτάτω οὖσα ἡ γυνὴ* S | *ἐτύγχανε* G ‖ 18 *τε* P S] *δὲ* G

ρων, Ἰουστινιανὸν δὲ ξὺν δέει πολλῷ ἐθεράπευον. κυκῶν γὰρ ἀεὶ καὶ ξυνταράσσων ἀνεσόβει ἐφεξῆς ἅπαντα. τότε δὴ τὴν ἐγγύην πρὸς τὴν Θεοδώραν ἐνεχείρει 51 ποιεῖν. ἀδύνατον δὲ ὃν ἄνδρα ἐς ἀξίωμα βουλῆς ἥκοντα 5 ἑταίρᾳ γυναικὶ ξυνοικίζεσθαι, νόμοις ἄνωθεν τοῖς παλαιοτάτοις ἀπορρηθὲν, λῦσαί τε τοὺς νόμους τὸν βασιλέα νόμῳ ἑτέρῳ ἠνάγκασε καὶ τὸ ἐνθένδε ἅτε γαμετῇ τῇ Θεοδώρᾳ ξυνῴκησε, καὶ τοῖς ἄλλοις ἅπασι βάσιμον κατεστήσατο τὴν πρὸς τὰς ἑταίρας ἐγγύην, □ 10 τυραννῶν τε αὐτίκα ἐπεβάτευε τῆς τοῦ αὐτοκράτορος τιμῆς προσχήματι συμπεπλασμένῳ τῆς πράξεως ἐπικαλύπτων τὸ βίαιον. ἀνεῖπον γὰρ αὐτὸν βασιλέα 52 B 67 ξὺν τῷ θείῳ τῶν Ῥωμαίων, εἴ τι δόκιμον ἦν, δειμάτων περιουσίᾳ ἐπὶ ταύτην ἠγμένοι τὴν ψῆφον. παρέ- □ 53 15 λαβον τοίνυν τὴν βασιλείαν Ἰουστινιανός τε καὶ Θεοδώρα πρότερον τῆς ⟨Πασχαλίας⟩ ἑορτῆς ἡμέραις τρισὶν, □ ὅτε δὴ οὔτε ἀσπάσασθαι τῶν φίλων τινὰ οὔτε εἰρηναῖα προσειπεῖν ἔξεστιν. ἡμέραις δὲ οὐ πολλαῖς 54 ὕστερον Ἰουστῖνος μὲν ἐτελεύτησε νόσῳ, τῇ ἀρχῇ ἐπι- 20 βιοὺς ἔτη ἐννέα, μόνος δὲ Ἰουστινιανὸς ξὺν Θεοδώρᾳ τὴν βασιλείαν ἔσχεν.

ι΄. Οὕτω γοῦν ἡ Θεοδώρα, ὥσπερ ἐρρήθη, τεχθεῖσά τε καὶ τεθραμμένη καὶ παιδευθεῖσα ἐς βασιλείας ἀξίωμα τρόπῳ οὐδενὶ ἐμποδισθεῖσα ἦλθεν. οὐδὲ γὰρ 2

---

15 Theoph. I 173, 13. Euagr. IV 9. Cedren. I 641, 23. Marcell. Com. ad a. 527. Vict. Tonn. ad a. 525 ‖ 19 Mal. 424, 14. Chron. Pasch. 617, 6

---

2 ἅπαντα *PS*] ἅπαντας *G* ‖ 9 τὰς *PS*] om. *G* ‖ 16 ⟨Πασχαλίας⟩ addidi ‖ 17 ὅτε δὴ—τινὰ *PS*] ὅτε δὴ οὔτε *** οὔτε ἀσπάσασθαί τινα *G* ‖ 19 ἰουστῖνος *G P*, *S* pr. m. corr.] ἰουστινιανὸς *S* pr. m. ‖ 20 σὺν *S* | θεοδώρα *PS*] τῇ θεοδώρα *G*

□ τῷ γήμαντι ὕβρεώς τις οἴησις γέγονεν, εἴ οἱ παρὸν
ἐκ πάσης ἀπολεξαμένῳ τῆς Ῥωμαίων ἀρχῆς γαμετὴν
γυναῖκα ποιήσασθαι τὴν πασῶν γυναικῶν μάλιστα
εὖ τε γεγονυῖαν καὶ τροφῆς κρυφαίου μεταλαχοῦσαν,
P 31 τοῦ τε αἰδεῖσθαι οὐκ ἀμελέτητον γεγενημένην, καὶ 5
σωφροσύνῃ ξυνῳκισμένην, πρὸς δὲ τῷ κάλλει ὑπερ-
φυᾶ καὶ παρθένον τινὰ καὶ τὸ δὴ λεγόμενον ὀρθό-
□ 3 τιτθον οὖσαν. ὁ δὲ τὸ κοινὸν ἄγος ἁπάντων ἀνθρώ-
πων αὐτοῦ ἴδιον πεποιῆσθαι οὐκ ἀπηξίου, ἐπ' οὐδενὶ
τῶν προδεδηλωμένων καταδυόμενος, καὶ γυναικὶ πλη- 10
σιάζειν ἄλλα τε περιβεβλημένῃ μεγάλα μιάσματα καὶ
B 68 παιδοκτονίας πολλὰς ἐθελουσίων ἀμβλώσεων. ἄλλο
τέ μοι ἐνδεῖν ἤθους πέρι μνημονεῦσαι τοῦδε τοῦ
4 ἀνθρώπου οὐδ' ὁτιοῦν οἶμαι. ἅπαντα γὰρ αὐτοῦ τὰ
τῆς ψυχῆς πάθη οὗτος ἂν ἀξιόχρεως ὁ γάμος σημῆναι 15
διαρκῶς εἴη, ἑρμηνεύς τε καὶ μάρτυς τοῦ τρόπου καὶ
5 λογογράφος γινόμενος. ἐπεὶ ὅστις ἀλογήσας τὴν ὑπὲρ
τῶν πεπραγμένων αἰσχύνην οὐκ ἀπαξιοῖ τοῖς ἐντυγχά-
νουσι βδελυρὸς φαίνεσθαι, τούτῳ δὴ οὐδεμία παρανο-
μίας ἀτραπὸς ἄβατος, ἀλλὰ τὴν ἀναίδειαν ἀεὶ τοῦ 20
μετώπου προβεβλημένος ῥᾷστά τε καὶ οὐδενὶ πόνῳ ἐς
6 τῶν πράξεων τὰς μιαρωτάτας χωρεῖ. οὐ μὴν οὐδέ τις
ἐκ τῆς συγκλήτου βουλῆς τὸ αἶσχος τοῦτο ἀναδου-
μένην τὴν πολιτείαν ὁρῶν δυσφορεῖσθαί τε καὶ τὴν
πρᾶξιν ἀπειπεῖν ἔγνω, καίπερ αὐτὴν ἅπαντες ἴσα θεῷ 25

---

4 εὖ τε Alem.] οὔτε codd. | κρυφαίου codd.] κορυφαίου Alem. et edd. omnes, cf. tamen Hy 4, p. 16, not. 3 || 7—8 ὀρθότιτθον *P*] ὀρθότοον *G*, ὀρθότθον *S*, ὀρθοτίτθιος Suid. s. h. v., ubi scriptum est: Ὀρθοτίτθιος. ἡ παρθένος ἡ ὀρθοὺς τοὺς τιτθοὺς ἔχουσα || 9 αὑτοῦ *G* pr. m.] αὐτοῦ *P*, *G* corr., *S* || 11 περιβεβλημένῃ Alem.] προβεβλημένη codd. || 13 τέ μοι] δέ μοι Alem., ὥστε ἄλλο τί μοι Reiske | περιμνημονεῦσαι *G* || 20 ἀταρπὸς *G*

προσκυνήσοντες. ἀλλ' οὐδέ τις ἱερεὺς δεινοπαθῶν 7
ἔνδηλος γέγονε, καὶ ταῦτα δέσποιναν αὐτὴν προσερεῖν
μέλλοντες. καὶ ὁ πρότερον αὐτῆς θεατὴς δῆμος δοῦλος 8
εὐθὺς οὐδενὶ κόσμῳ αὐτῆς εἶναί τε καὶ ὀνομάζεσθαι
5 ὑπτίαις ἐδικαίου χερσίν. οὐδέ τις στρατιώτης ἠγρίωτο, 9
εἰ τοὺς ἐν τοῖς στρατοπέδοις κινδύνους ὑπὲρ τῶν τῆς
Θεοδώρας πραγμάτων ὑφίστασθαι μέλλοι οὐδέ τις
αὐτῇ ἄλλος ἀπήντησε τῶν ἁπάντων ἀνθρώπων, ἀλλὰ
πάντες, οἶμαι, τῷ ταῦτα οὕτω δεδόσθαι κεκλιμένοι □
10 ἐνεχώρησαν ξυμπεραίνεσθαι τὸ μίασμα τοῦτο, ὥσπερ
τῆς τύχης ἐπίδειξιν τῆς δυνάμεως πεποιημένης, ᾗ δὴ
ἅπαντα πρυτανευούσῃ τὰ ἀνθρώπεια ὡς ἥκιστα μέλει
οὔτε ὅπως ἂν τὰ πραττόμενα εἰκότα εἴη οὔτε ὅπως B 69
ἂν ταῦτα κατὰ λόγον τοῖς ἀνθρώποις γεγενῆσθαι δοκῇ.
15 ἐπαίρει γοῦν τινα ἐξαπιναίως ἀλογίστῳ τινὶ ἐξουσίᾳ 10
ἐς ὕψος μέγα, ᾧπερ ἐναντιώματα μὲν πολλὰ ξυμπε-
πλέχθαι δοκεῖ, ἀντιστατεῖ δὲ παρά τι ἔργον τῶν πάν- □
των οὐδέν, ἀλλὰ ἄγεται μηχανῇ πάσῃ ὅπῃ ποτὲ αὐτῇ □
διατέτακται, ἁπάντων ἑτοίμως ἐξισταμένων τε καὶ
20 ὑποχωρούντων προϊούσῃ τῇ τύχῃ. ἀλλὰ ταῦτα μὲν
ὅπῃ τῷ θεῷ φίλον, ταύτῃ ἐχέτω τε καὶ λεγέσθω
Ἡ δὲ Θεοδώρα εὐπρόσωπος μὲν ἦν καὶ εὔχαρις 11

22 cf. Proc. de aed. I cap. 11, 9

3 δοῦλος] δῆλος *P* ‖ 3—4 δοῦλος αὐτῆς οὐδενὶ κόσμω εἶναι *S* ‖ 8 ἁπάντων *PG*] πάντων *S* ‖ 9 οὕτως *G* ‖ 9—10 τῷ ταῦτα οὕτω δεδόσθαι κεκλημένοι (κεκλιμένοι Maltr.) codd., οὕτως δεδόχθαι κεκτημένῳ Reiske, τῷ ταῦτα οὕτως δεδόχθαι ὑποκεκλιμένοι (aut ἐκπεπληγμένοι) Piccolos, τῷ ταῦτα τῷ θεῷ δεδόχθαι κεκλιμένοι coniecit Kraš. ‖ 10 ἐνεχώρησαν Kraš.] ἀνεχώρησαν codd. | συμπεραίνεσθαι *G* ‖ 11—12 ᾗ δὴ ἅπαντα πρυτανευούσῃ Reiske] ἤδη ἅπαντα πρυτανευούσης codd. ‖ 12 μέλλει *G* ‖ 13 οὔτε—οὔτε Dind.] οὐδὲ—οὐδὲ codd. ‖ 14 δοκῇ *G*] δοκεῖ *PS*, malim δοκοίη ‖ 15—17 ἐπαίρει—δοκεῖ om. *S* ‖ 17 ἀντιστατεῖ *PS*] ἀντιστατοῖ *G* | τι a et Maltr.] τοι *GPS* ‖ 18 ἀλλ' *G*

ἄλλως, κολοβὸς δὲ καὶ ὠρακιῶσα οὐ παντάπασι μέν, ἀλλ' ὅσον ὑπόχλωρος εἶναι, γοργόν τε καὶ συνεστραμ-
12 μένον ἀεὶ βλέπουσα. τῶν δὲ δὴ αὐτῇ βεβιωμένων ἐν τῇ θυμέλῃ τὰ μὲν πλεῖστα λέγοντι οὐκ ἂν ὁ πᾶς αἰὼν ἐπαρκέσαι, ὀλίγα δὲ ἄττα ἐν τοῖς ἔμπροσθεν 5 λόγοις ἀπολεξάμενος τοῦ τῆς γυναικὸς τρόπου τοῖς ἐπιγενησομένοις ὅλην ἂν πεποιῆσθαι τὴν δήλωσιν
13 ἱκανὸς εἴην. νῦν δὲ αὐτῆς καὶ τἀνδρὸς τὰ πεπραγμένα ἐν ὀλίγῳ δηλωτέον ἡμῖν, ἐπεὶ οὐδέ τι ἀλλήλοιν
14 χωρὶς ἐς τὴν δίαιταν ἐπραξάτην. χρόνον μὲν γὰρ 10
P 32 πολὺν ἔδοξαν ἅπασι ταῖς τε γνώμαις ἀεὶ καὶ τοῖς ἐπιτηδεύμασι καταντικρὺ ἀλλήλοιν ἰέναι, ὕστερον μέντοι ἐξεπίτηδες αὐτοῖν ξυμπεπλάσθαι ἡ δόκησις αὕτη ἐγνώσθη, τοῦ μὴ ξυμφρονήσαντας τοὺς κατηκόους σφίσιν ἐπαναστῆναι, ἀλλὰ διεστάναι τὰς γνώμας ἐπ' 15
B 70 αὐτοὺς ἅπασι.

15 Πρῶτα μὲν οὖν τοὺς Χριστιανοὺς διαναστήσαντε καὶ τὴν ἐναντίαν ἔν γε τοῖς ἀντιλεγομένοις σκηπτομένω ἀλλήλοιν ἰέναι διεσπάσαντο οὕτως ἅπαντας, ὥσπερ μοι λελέξεται οὐ πολλῷ ὕστερον. ἔπειτα δὲ 20
16 τοὺς στασιώτας διείλοντο. καὶ ἡ μὲν δυνάμει τῇ πάσῃ μεταποιεῖσθαι τῶν Βενέτων ἐπλάσσετο καὶ τὴν ἐξουσίαν αὐτοῖς ἐπὶ τοὺς ἀντιστασιώτας ἀναπετάσασα ἐνεδίδου κόσμῳ [ἐν] οὐδενὶ ἐξαμαρτάνειν τε καὶ βιάζε-

---

17 Euagr. IV 10. Niceph. Call. XVII 7 || 20 λελέξεται] cap. XXVII 14?

---

5 ἐπαρκέσαι Dind.] ἐπαρκέσῃ G S, ἐπαρκέσοι P | ἅττα G | ἔμπροσθεν Maltr.] ὄπισθεν codd. || 9 ἐπεὶ G P] ἐπεὶ δὲ S || 11 τε P S] om. G || 13 ἐξεπίτητες S || 14 τοῦ G P] τοὺς S || 17 διαναστήσαντε S] διαναστήσαντες G P || 24 ἐν codd., delevit Alem. | ἁμαρτάνειν G

σθαι τὰ ἀνήκεστα. ὁ δὲ ὥσπερ ἀγανακτοῦντι μὲν καὶ 17
ἀποσκύζοντι λάθρα ἐῴκει, <κελ>ευθέως δὲ τῇ γυναικὶ
ἀντιστατεῖν οὐχ οἵῳ τε ὄντι· πολλάκις δὲ καὶ μεταμπ-
ισχόμενοι τὴν τοῦ δύνασθαι δόξαν σφίσιν αὐτοῖς
5 τὴν ἐναντίαν <ἤεσαν>. ὁ μὲν γὰρ τοὺς Βενέτους 18
οἷα ἐξαμαρτάνοντας κολάζειν ἠξίου, ἡ δὲ τῷ λόγῳ
χαλεπαίνουσα ἐδυσφορεῖτο ὅτι δὴ οὐχ ἑκοῦσα τἀνδρὸς
ἡσσηθείη.

Τῶν μέντοι Βενέτων οἱ στασιῶται, ὥσπερ μοι 19
10 εἴρηται, σωφρονέστατοι ἔδοξαν εἶναι. τοὺς γὰρ πέλας
βιάζεσθαι ὅσα ἐξῆν οὐδαμῇ ἐδικαίουν, ἔν τε ταῖς περὶ
τὰς δίκας φιλονεικίαις ἐδόκει μὲν ἑκάτερος ἑνὶ τῶν
διαφόρων ἀμύνειν, νικᾶν δὲ αὐτοῖν τὸν λόγῳ τῷ
ἀδίκῳ ξυνιστάμενον ἐπάναγκες ἦν· οὕτω δὲ τὰ πλεῖστα
15 χρημάτων αὐτοὺς τῶν ἀντιλεγομένων ληΐζεσθαι. πολ- 20
λοὺς μὲν οὖν ὅδε ὁ αὐτοκράτωρ ἐν τοῖς αὐτῷ κατα-
λέγων ἐπιτηδείοις ἐς τὴν ἐξουσίαν ἐνεβίβαζε τοῦ
βιάζεσθαί τε καὶ εἰς τὴν πολιτείαν ἐξαμαρτάνειν ἃ
βούλοιντο, ἐπειδὰν δὲ πλούτου τι μέγα χρῆμα περι-
20 βεβλημένοι φανεῖεν, εὐθύς τι προσκεκρουκότες τῇ
γυναικὶ διάφοροι ἦσαν. ὧν δὴ κατ' ἀρχὰς μετα- 21
ποιεῖσθαι πάσῃ προθυμίᾳ οὐδαμῇ ἀπηξίου, ὕστερον B 71
δὲ τὴν ἐς τοὺς ἀνθρώπους μεθεὶς εὔνοιαν τὰ ἐς τὴν

---

2 <κελ>ευθέως scripsi] κελεύσεως codd., κελεύσεσι Maltr., κελεύσει Reiske, κελευούσῃ Kraš., cf. Hy 2 p. 30 | τῆς γυναικὸς Reiske ‖ 4 αὐτοῖς] αὐτοῖς <ἐφαίνοντο> Reiske ‖ 5 <ἤεσαν> addidit Piccolos ‖ 6 ante οἷα excidit μυρία aut aliquid simile ‖ 9 μοι *G P*] om. *S.* ‖ 11 ἐδικαίουν Alem.] ἐδικαίου codd. ‖ 13 διαφόρων Alem.] διαφορῶν codd. | δὲ codd.] τε Kraš. ‖ 17 ἐνεβίβαζε *P S*] ἀνεβίβαζε *G* ‖ 19 μέγα *P S*] om. *G* ‖ 21 κατ' ἀρχὰς <μὲν> Reiske ‖ 23—70, 1 τὰ ἐς τὴν σπουδὴν τάραχος codd.] πρὸς τὰ ἐς τὴν σπουδὴν ταραχθεὶς Reiske, scribendum puto: τὰ ἐς τὴν σπουδὴν λήθαργος

□ 22 *σπουδὴν τάραχος ἐκ τοῦ αἰφνιδίου ἐγίνετο. καὶ ἡ μὲν αὐτίκα εἰργάζετο αὐτοὺς ἀνήκεστα ἔργα, ὁ δὲ δῆθεν οὐκ ἐπαισθανόμενος τῶν πραττομένων σύμπα-*
□ *σαν αὐτῶν τὴν οὐσίαν κτήσει ἀναισχύντῳ ἠσπάζετο.*
23 *τούτοις τε ἀεὶ τοῖς μηχανήμασιν ἐν σφίσι μὲν αὐτοῖς* 5
ξυμφρονοῦντες, ἐς δὲ τὸ ἐμφανὲς στασιάζειν ποιούμενοι, διαστήσασθαί τε τοὺς ὑπηκόους καὶ τὴν τυραννίδα βεβαιότατα κρατύνεσθαι ἔσχον.

P 33 *ια'. Ἐπειδὴ οὖν Ἰουστινιανὸς τὴν βασιλείαν παρέλαβε, συγχεῖν ἅπαντα εὐθὺς ἴσχυσεν. ἃ γὰρ ἔμπροσθεν* 10
νόμῳ ἀπορρηθέντα ἐτύγχανεν, ἐς τὴν πολιτείαν εἰσῆγε, τά τε ὄντα καὶ ξυνειθισμένα καθελὼν ξύμπαντα, ὥσπερ
□ *ἐπὶ τούτῳ κεκομισμένος τὸ τῆς βασιλείας σχῆμα, ἐφ'*
2 *ᾧ ἅπαντα μεταλλάσσοι ἐφ' ἕτερον σχῆμα. ἀρχάς τε γὰρ τὰς μὲν οὔσας ἀνῄρει, τὰς δὲ οὐκ οὔσας ἐφίστη* 15
τοῖς πράγμασι· τούς τε νόμους καὶ τῶν στρατιωτῶν τοὺς καταλόγους ταὐτὸ τοῦτο ἐποίει, οὐ τῷ δικαίῳ εἴκων οὐδὲ τῷ ξυμφόρῳ ἐς τοῦτο ἠγμένος, ἀλλ' ὅπως δὴ ἅπαντα νεώτερά τε καὶ αὐτοῦ ἐπώνυμα εἴη. ἣν δέ τι καὶ μεταβαλεῖν ἐν τῷ παραυτίκα ἥκιστα ἴσχυσεν, 20
ἀλλὰ τούτῳ γε τὴν ἐπωνυμίαν τὴν αὐτοῦ ἔθετο.

3 *Χρημάτων δὲ ἁρπαγῆς ἢ φόνου ἀνθρώπων κόρος αὐτὸν οὐδεὶς ἔλαβε πώποτε, ἀλλ' οἰκίας μὲν παμπληθεῖς ληϊσάμενος εὐδαιμόνων ἀνδρῶν ἑτέρας ἐξήτει,*
□ *προέμενος εὐθὺς τῶν βαρβάρων τισὶν, ἢ ἀνοήτοις* 25

---

6 *ποιούμενοι* codd.] ⟨*προσ*⟩ *ποιούμενοι* Alem. ‖ 8 *κρατύνειν* *P* ‖ 10 *ἴσχυσεν* *G P*] *ἔσχεν* *S* ‖ 11 *εἰς* *S* ‖ 12 *σύμπαντα* *G* ‖ 13 *ἐπὶ τούτῳ*] *ἐπὶ τοῦτο* *S* pr m. | *κεκομισμένος* *S*] *κεκοσμημένος* *G P* ‖ 14 *μεταλλάσοι* *P* ‖ 15 *τὰς μὲν οὔσας* Alem.] *μενούσας* codd. ‖ 18 *ξυμφόρῳ ἐς* *G P*] *δικαίῳ εἰς* *S* ‖ 19 *ἣν* *G P*] *εἰ* *S* ‖ 20 *ἴσχυσεν* *G P*] *ἔσχεν* *S* ‖ 21 *αὐτοῦ* Dind.] *αὐτοῦ* codd. ‖ 23 *ἔλαβε* *G P*] *ἐλάμβανε* *S* ‖ 25 *βαρβάρων* *P S*] *βάρων* *G*

οἰκοδομίαις λείας τῆς προτέρας τὰ χρήματα. καὶ μυ- 4 B 72
ρίους δὲ ἴσως λόγῳ οὐδενὶ ἀνελὼν ἐς πλειόνων ἄλλων
ἐπιβουλὴν αὐτίκα μάλα καθίστατο. εἰρήνης τοίνυν 5
Ῥωμαίοις οὔσης ἐς πάντας ἀνθρώπους οὐκ ἔχων ὅστις
5 γένηται τῶν φόνων ἐπιθυμίᾳ πάντας βαρβάρους πρός
[τε] ἀλλήλους ξυνέκρουε, τῶν δὲ Οὔννων τοὺς ἡγου-
μένους ἐξ αἰτίας οὐδεμιᾶς μετακαλῶν χρήματα μεγάλα
σφίσιν ἀτόπῳ φιλοτιμίᾳ προΐετο, φιλίας ἐνέχυρα δῆθεν
τῷ λόγῳ ταῦτα ποιούμενος· ὅπερ αὐτὸν ἐρρήθη καὶ
10 ὑπὸ τὸν χρόνον τῆς Ἰουστίνου βασιλείας πεποιηκέναι.
οἱ δὲ καὶ χρήματα κεκομισμένοι τῶν ξυναρχόντων 6
τινὰς ξὺν τοῖς ἑπομένοις τοῖς αὐτῶν ἔπεμπον, κατα-
θέειν ἐξ ἐπιδρομῆς γῆν τὴν βασιλέως κελεύοντες, ὅπως
καὶ αὐτοὶ τὴν εἰρήνην ἀπεμπολεῖν τῷ ταύτην ὠνεῖσθαι
15 λόγῳ οὐδενὶ βουλομένῳ δυνατοὶ εἶεν. καὶ οἱ μὲν 7
αὐτίκα ἠνδραπόδιζόν τε τὴν Ῥωμαίων ἀρχὴν καὶ οὐδέν
τι ἧσσον ἔμμισθοι πρὸς τοῦ βασιλέως ἐγίνοντο· ἕτεροι
δὲ μετ' ἐκείνους εὐθὺς ἐς τὸ ληΐζεσθαι τοὺς ταλαι-
πώρους Ῥωμαίους καθίσταντο, καὶ μετὰ τὴν λείαν
20 ἆθλα τῆς ἐφόδου τὴν βασιλέως φιλοτιμίαν ἐδέχοντο.
οὕτω τε ἅπαντες ξυλλήβδην εἰπεῖν οὐδένα ἀνιέντες 8
καιρὸν ἐκ περιτροπῆς ἦγόν τε καὶ ἔφερον ἀπαξάπαντα. P 34
ἀρχόντων γάρ εἰσι τοῖς βαρβάροις τούτοις ξυμμορίαι 9
πολλαὶ καὶ περιήρχετο πόλεμος τὴν μὲν αἰτίαν ἐκ φι-
25 λοτιμίας ἀλογίστου λαβών, τὸ δὲ πέρας εὑρέσθαι οὐ-
δαμῆ ἔχων, ἀλλ' ἐφ' ἑαυτὸν ἀνακυκλούμενος τὸν B 73
πάντα αἰῶνα. διὸ δὴ χῶρος μέν τις ἢ ὄρος ἢ σπή- 10 □

1 οἰκοδομίαις] ἐκχέας addit Reiske | καὶ *S*] κατὰ *G P* ‖ 5 πρὸς Reiske] πρός τε codd., πρός γε Kraš. ‖ 8 φιλοτιμία *G P*] ἐπιθυμία *S* ‖ 10 ἰουστίνου *S*] ἰουστινιανοῦ *G P* ‖ 16 ἠνδραπόδιζόν *G P*] ἠνδραποδίζοντό *S* ‖ 17 τι *G P*] τε *S* ‖ 27 ὅρος *G*

λαιον ἢ ἄλλο τι τῆς Ῥωμαίων γῆς ὑπὸ τὸν χρόνον
τοῦτον ἀδῄωτον οὐδαμῆ ἔμεινε, χώραις δὲ πολλαῖς
11 πλέον ἢ πεντάκις ἁλῶναι συνέβη. καὶ ταῦτα μέντοι
καὶ ὅσα πρὸς Μήδων τε καὶ Σαρακηνῶν καὶ Σκλα-
βηνῶν καὶ Ἀντῶν καὶ τῶν ἄλλων βαρβάρων ξυνηνέχθη 5
γενέσθαι ἐν τοῖς ἔμπροσθέν μοι δεδιήγηται λόγοις·
ἀλλ' ὅπερ τοῦδε ἀρχόμενος τοῦ λόγου ὑπεῖπον, τὴν
αἰτίαν τῶν ξυμπεπτωκότων ἐνταῦθά μοι ἦν ἀναγ-
καῖον εἰπεῖν.

12 Καὶ Χοσρόῃ μὲν κεντηναρίων πλῆθος ὑπὲρ τῆς 10
εἰρήνης προέμενος, αὐτογνωμονήσας δὲ οὐδενὶ λόγῳ
αἰτιώτατος τοῦ λελύσθαι τὰς σπονδὰς γέγονεν, Ἀλα-
μούνδαρόν τε καὶ Οὕννους τοὺς Πέρσαις ἐνσπόνδους
σπουδάζων τε καὶ διατεινόμενος ἑταιρίζεσθαι, ὅπερ
μοι ἐν λόγοις τοῖς ὑπὲρ αὐτῶν οὐκ ἀπαρακαλύπτως 15
13 εἰρῆσθαι δοκεῖ. ἐν ᾧ δὲ τὰ ἐκ τῶν στάσεών τε καὶ
πολέμων κακὰ Ῥωμαίοις ἀνήγειρε καὶ ἐρρίπιζεν, ἓν
τοῦτο βουλευσάμενος, αἵματος ἀνθρωπείου τὴν γῆν
πολλαῖς μηχαναῖς ἔμπλεων γίνεσθαι καὶ χρήματα
ληΐζεσθαι πλείω, φόνον καὶ ἄλλον τῶν ὑπηκόων ἐπε- 20
νόει πολὺν τρόπῳ τοιῷδε.

14 Χριστιανῶν δόξαι ἀπόβλητοι πολλαί εἰσιν ἐν πάσῃ
τῇ Ῥωμαίων ἀρχῇ, ἅσπερ αἱρέσεις καλεῖν νενομίκασι,

---

10 cf. I 115, 4 ‖ 15 cf. I 150, 7. 160, 23

---

2 ἀδῄωτον] ἀδή τὼ G | ἔμεινε οὐδαμῆ P ‖ 3 ξυνέβη S | ταῦ-
τα] ταῦτ' S ‖ 4—5 Σκλαβηνῶν a S et Alem.] ἀσκλαβηνῶν G P S ‖
5 Ἀντῶν Alem.] αὐτῶν codd. ‖ 6 γενέσθαι G P] om. S ‖ 10 μὲν
Reiske] δὲ codd. ‖ 11 δὲ] τε P ‖ 13 Πέρσαις Alem.] πέρσας codd. |
ἐνσπόνδους] ἐκσπόνδους ab Alem. adnotatum est in G ‖ 17 πο-
λέμων G in marg.] πόλεων G in contextu, P S ‖ 18 βουλευσά-
μενος Reiske] βουλεύσαντες codd. | ἀνθρωπείου G P] ἀνου S ‖
20 ἄλλον codd.] σάλον Maltr.

Μοντανῶν τε καὶ Σαββατιανῶν καὶ ὅσαις ἄλλαις πλανᾶσθαι αἱ τῶν ἀνθρώπων εἰώθασι γνῶμαι. τούτους ἅπαντας δόξαν τὴν παλαιὰν ἐκέλευε μετατίθεσθαι, ἄλλα τε ἀπειλήσας ἀπειθοῦσι πολλὰ καὶ τὰς οὐσίας ἐς τοὺς παῖδας ἢ ξυγγενεῖς μηκέτι παραπέμπειν οἷόν τε εἶναι. τούτων δὲ τὰ ἱερὰ τῶν αἱρετικῶν καλουμένων, καὶ διαφερόντως οἷσπερ ἡ τοῦ Ἀρείου ἤσκητο δόξα, πλοῦτόν τινα εἶχεν ἀκοῆς κρείττω. οὔτε γὰρ ἡ σύγκλητος βουλὴ ξύμπασα οὔτε τις ἄλλη μεγίστη μοῖρα τῆς Ῥωμαίων ἀρχῆς τά γε εἰς τὴν οὐσίαν εἰκάζεσθαι τούτοις δὴ τοῖς ἱεροῖς ἔσχε. κειμήλιά τε γὰρ αὐτοῖς χρυσᾶ τε καὶ ἀργυρᾶ καὶ ξυγκείμενα ἐκ λίθων ἐντίμων ἀμύθητά τε καὶ ἀναρίθμητα ἦν, οἰκίαι τε καὶ κῶμαι παμπληθεῖς, καὶ χώρα πολλὴ πανταχόθι τῆς γῆς, καὶ ὅση ἄλλη πλούτου ἰδέα ἐστί τε καὶ ὀνομάζεται ἐν πᾶσιν ἀνθρώποις ἅτε οὐδενὸς αὐτὰ τῶν πώποτε βεβασιλευκότων ὀχλήσαντος. πολλοί τε ἄνθρωποι, καὶ ταῦτα δόξης ὄντες ὀρθῆς, τῇ τῶν σφετέρων ἐπιτηδευμάτων προφάσει ἐνθένδε ἀεὶ τοῦ βίου τὰς ἀφορμὰς εἶχον. τούτων μὲν οὖν τῶν ἱερῶν πρῶτον τὰς οὐσίας δημοσιώσας Ἰουστινιανὸς βασιλεὺς ἀφείλετο ἐξαπιναίως τὰ χρήματα πάντα. ἐξ οὗ τοῖς πολλοῖς ἀποκεκλεῖσθαι τὸ λοιπὸν τοῦ βίου συνέβη.

Πολλοὶ δὲ εὐθὺς πανταχόσε περιιόντες δόξης τῆς πατρίου τοὺς παραπίπτοντας ἠνάγκαζον μεταβάλλεσθαι. ἅπερ ἐπεὶ ἀνθρώποις ἀγροίκοις οὐχ ὅσια ἔδοξεν εἶναι,

3 Mal. 478, 12. Theoph. I 176, 17. cf. Nov. 109 et 45. Corp. iur. civ. C I 5 || 5 Nov. 115, 3, 14. Nov. 129, Praef. Nov. 132 || 6 Mal. 479, 13. Cedren. I 642, 18

1 μουτανῶν *G*, μουντανῶν *S* || 4 οὐσίας] οὐσίας ἐς τοὺς οὐσίας *S* || 14 πανταχόθι *G P*] πανταχόθεν *S* || 15 ὀνομάζεται *G P*] νενόμισται *S* || 21 δημοσιεύσας *P* || 23 ξυνέβη *S*

τοῖς ταῦτα ἐπαγγέλλουσιν ἀντιστατεῖν ἅπαντες ἔγνω-
23 *σαν. πολλοὶ μὲν οὖν πρὸς τῶν στρατιωτῶν διεφθεί-*
ροντο, πολλοὶ δὲ καὶ σφᾶς αὐτοὺς διεχρήσαντο εὐσε-
βεῖν μάλιστα ὑπὸ ἀβελτερίας οἰόμενοι, καὶ αὐτῶν ὁ
μὲν πλεῖστος ὅμιλος γῆς τῆς πατρῴας ἐξιστάμενοι 5
ἔφευγον, Μοντανοὶ δὲ, οἳ ἐν Φρυγίᾳ κατῴκηντο, σφᾶς
B 75 *αὐτοὺς ἐν ἱεροῖς τοῖς σφετέροις καθείρξαντες τούτους*
τε τοὺς νεὼς αὐτίκα ἐμπρήσαντες ξυνδιεφθάρησαν
οὐδενὶ λόγῳ, πᾶσά τε ἀπ' αὐτοῦ ἡ Ῥωμαίων ἀρχὴ
φόνου τε ἦν καὶ φυγῆς ἔμπλεως. 10
24 *Νόμου δὲ τοῦ τοιούτου καὶ ἀμφὶ τοῖς Σαμαρείταις*
αὐτίκα τεθέντος ταραχὴ ἄκριτος τὴν Παλαιστίνην
25 *κατέλαβεν. ὅσοι μὲν οὖν ἔν τε Καισαρείᾳ τῇ ἐμῇ κἀν*
ταῖς ἄλλαις πόλεσιν ᾤκουν, παρὰ φαῦλον ἡγησάμενοι
κακοπάθειάν τινα ὑπὲρ ἀνοήτου φέρεσθαι δόγματος, 15
ὄνομα Χριστιανῶν τοῦ σφίσι παρόντος ἀνταλλαξάμενοι
τῷ προσχήματι τούτῳ τὸν ἐκ τοῦ νόμου ἀποσείσασθαι
26 *κίνδυνον ἴσχυσαν. καὶ αὐτῶν ὅσοις μέν τι λογισμοῦ*
καὶ ἐπιεικείας μετῆν, πιστοὶ εἶναι τὰ ἐς δόξαν τήνδε
οὐδαμῇ ἀπηξίουν, οἱ μέντοι πλεῖστοι ὥσπερ ἀγανακ- 20
τοῦντες, ὅτι δὴ οὐχ ἑκούσιοι, ἀλλὰ τῷ νόμῳ ἠναγ-
κασμένοι δόγμα τὸ πάτριον μετεβάλοντο, αὐτίκα δὴ
μάλα ἐπί τε Μανιχαίους καὶ τοὺς καλουμένους Πολυ-

---

23 *Μανιχαίους*] Mal. 423, 16. Cedren. I 639, 19. Liber Pontific. pars. I ed. Momms. p. 130

---

2 *στρατιωτῶν PS*] *στασιωτῶν G* ‖ 3 *διεχρήσαντο*] *διεφθείροντο* superscr. *χρήσαντο G* ‖ 4 *ἀβελτερίας* Kraš.] *ἀβελτηρίας* codd. ‖ 11 *τοῖς Σαμαρείταις*] *τοὺς σαμαρείτας G*, *τοῖς σαμαρίταις S* ‖ 13 *καισαρία S* ‖ 17—18 *κίνδυνον ἀποσείσασθαι P* ‖ 18 *μέν τι PS*] *μέντοι G* ‖ 19 *μετῆν G*] *μετὸν PS* | *πιστοὶ GP*] *μεστοὶ S* ‖ 22 *μετεβάλλοντο G*

θέους ἀπέκλιναν. οἱ δὲ γεωργοὶ ξύμπαντες ἀθρόοι 27
γεγενημένοι ὅπλα ἀνταίρειν βασιλεῖ ἔγνωσαν, βασιλέα
σφίσι τῶν τινα λῃστῶν προβεβλημένοι, Ἰουλιανὸν
ὄνομα, Σαβάρου υἱόν. καὶ χρόνον μέν τινα τοῖς στρα- 28
5 τιώταις ἐς χεῖρας ἐλθόντες ἀντεῖχον, ἔπειτα δὲ ἡττη-
θέντες τῇ μάχῃ διεφθάρησαν ξὺν τῷ ἡγεμόνι. καὶ 29
λέγονται μυριάδες ἀνθρώπων δέκα ἐν τῷ πόνῳ τούτῳ
ἀπολωλέναι, καὶ χώρα ἡ πάσης γῆς ἀγαθὴ μάλιστα
ἔρημος γεωργῶν ἀπ' αὐτοῦ γέγονε. τοῖς τε τῶν χω- 30
10 ρίων κυρίοις Χριστιανοῖς οὖσι τὸ πρᾶγμα τοῦτο ἐς
μέγα κακὸν ἐτελεύτησεν. ἀναγκαῖον γὰρ γέγονε σφί-
σιν οὐδὲν ἐνθένδε μετακομιζομένοις φόρον τὸν ἐπέτειον
ἁδρόν τινα ὄντα ἐς τὸν ἅπαντα αἰῶνα βασιλεῖ φέρειν,
ἐπεὶ οὐδεμιᾷ φειδοῖ ἡ τοῦ ἔργου τούτου ἐντροπὴ B 76
15 γέγονεν.

Ἐντεῦθεν ἐπὶ τοὺς Ἕλληνας καλουμένους τὴν 31
δίωξιν ἦγεν αἰκιζόμενός τε τὰ σώματα καὶ τὰ χρήματα
ληϊζόμενος. ἀλλὰ καὶ αὐτῶν ὅσοι τοῦ Χριστιανῶν 32
ὀνόματος δῆθεν μεταλαχεῖν ἔγνωσαν τῷ λόγῳ τὰ
20 παρόντα σφίσιν ἐκκρούοντες, οὗτοι δὴ οὐ πολλῷ
ὕστερον ἐπὶ ταῖς σπονδαῖς καὶ θυσίαις καὶ ἄλλοις οὐχ □
ὁσίοις ἔργοις ἐκ τοῦ ἐπὶ πλεῖστον ἡλίσκοντο. τὰ γὰρ 33 □
ἀμφὶ τοῖς Χριστιανοῖς εἰργασμένα ἐν τοῖς ὄπισθέν μοι
λόγοις λελέξεται.

---

2 Mal. 445, 19. Theoph. I 178, 22. Bar-Hebr. 82. Cedren. I 646, 22. Hermes VI 376. Ioannes de Niciu 518. Zach. 177 || 16 Mal. 449, 3. Theoph. I 180, 11. Cedren. I 642, 16. Cramer Anecd. II 320 || 23—24 haec frustra quaeras in Procopii libris

---

13 ὄντα om. *P* || 14 *οὐδεμιᾷ φειδοῖ ἡ* Alem.] *οὐδεμία φειδὼ ἡ* codd., *οὐδεμία φειδὼ ᾗ* Reiske | *ἐντροπὴ* codd.] *ἐπιτροπὴ* Alem. || 19 *λόγω τὰ PS*] * *τὸν G*

34 Μετὰ δὲ καὶ τὸ παιδεραστεῖν νόμῳ ἀπεῖργεν, οὐ
τὰ μετὰ τὸν νόμον διερευνώμενος, ἀλλὰ τοὺς πάλαι
35 ποτὲ ταύτῃ δὴ τῇ νόσῳ ἁλόντας. ἐγίνετό τε ἡ ἐς
αὐτοὺς ἐπιστροφὴ οὐδενὶ κόσμῳ, ἐπεὶ καὶ κατηγόρου
χωρὶς ἐπράσσετο ἡ ἐς αὐτοὺς τίσις, ἑνός τε ἀνδρὸς ἢ 5
παιδὸς λόγος, καὶ τούτου δούλου, ἂν οὕτω τύχοι, καὶ
ἀκουσίου μαρτυρεῖν ἐπὶ τὸν κεκτημένον ἀναγκασθέντος,
36 ἔδοξεν εἶναι ἀκριβὴς ἔλεγχος. τούς τε οὕτως ἁλισκο-
P 36 μένους τὰ αἰδοῖα περιῃρημένους ἐπόμπευον. οὐκ ἐς
πάντας μέντοι κατ' ἀρχὰς τὸ κακὸν ἤγετο, ἀλλ' ὅσοι ἢ 10
Πράσινοι εἶναι ἢ μεγάλα περιβεβλῆσθαι χρήματα ἔδοξαν
ἢ ἄλλο τι τοῖς τυραννοῦσι προσκεκρουκότες ἐτύγχανον.
37 Καὶ μὴν καὶ τοῖς μετεωρολόγοις χαλεπῶς εἶχον.
□ διὸ δὴ αὐτοὺς ἡ ἐπὶ τοῖς κλέπταις τεταγμένη ἀρχὴ
ᾐκίζετό τε ἀπ' οὐδεμιᾶς ἄλλης αἰτίας καὶ ξαίνουσα 15
κατὰ τοῦ νώτου πολλὰς ἐπὶ καμήλων φερομένους
ἐπόμπευεν ἀνὰ πᾶσαν τὴν πόλιν γέροντάς τε καὶ
ἄλλως ἐπιεικεῖς ὄντας, ἄλλο αὐτοῖς ἐπικαλεῖν οὐδὲν
ἔχουσα, πλήν γε δὴ ὅτι σοφοὶ τὰ περὶ τοὺς ἀστέρας
□ 38 B 77 ἐν τοιούτῳ χώρῳ ἐβούλοντο εἶναι. ἔφευγον τοίνυν 20
ἀνθρώπων διηνεκὲς πολὺς ὅμιλος οὐκ ἐς βαρβάρους
μόνον, ἀλλὰ καὶ ἐς τοὺς μακρὰν ᾠκισμένους Ῥωμαίους,
ἦν τε ἰδεῖν ἐν χώρᾳ τε ἀεὶ καὶ πόλει ἑκάστῃ τοὺς
39 πλείστους ξένους. τοῦ γὰρ διαλαθεῖν ἕνεκα γῆς τῆς

1 Mal. 436, 3. Theoph. I 177, 11. Zonar. III 275. Nov. 77 et 141. Cramer Anecd. II 322. Niceph. Call. XVII 32

4 ἐπιστροφὴ *P S*] ἀποστροφὴ *G* ‖ 10 τὸ κακὸν κατ' ἀρχὰς *G* ‖ 12 τοῖς τυραννοῦσι *P S*] om. *G* ‖ 16 τοῦ *P S*] om *G* | πολλὰς Alem.] πολλοὺς codd. ‖ 17 ἐπόμπευεν *P S*] ἐπόμπευον *G* | ἀνὰ πᾶσαν Alem.] ἅπασαν codd. ‖ 20 χώρῳ *G P*] χωρίῳ *S* ‖ 21 διηνεκὲς scripsi] διηνεκὴς codd., διηνεκῶς Reiske | ὅμιλος πολὺς *G* | εἰς *S* ‖ 22 μόνον *G P*] μόνους *S* | ῥωμαίους codd.] Ῥωμαίων Alem.

πατρῴας τὴν ἀλλοτρίαν ἠλλάξαντο εὐπετῶς ἕκαστοι,
ὥσπερ τῆς πατρίδος αὐτοῖς ὑπὸ πολεμίων ἁλούσης. 40
τὸν μὲν οὖν πλοῦτον τῶν εὐδαιμόνων εἶναι δοκούν-
των ἔν τε Βυζαντίῳ καὶ πόλει ἑκάστῃ μετά γε τοὺς
5 ἐκ τῆς συγκλήτου βουλῆς, τρόποις οἷσπερ εἴρηται
Ἰουστινιανός τε καὶ Θεοδώρα ληϊσάμενοι ἔσχον. ὅπως 41
δὲ καὶ τοὺς ἐκ βουλῆς ἀφαιρεῖσθαι τὰ χρήματα ξύμ-
παντα ἴσχυσαν, αὐτίκα δηλώσω.

ιβ'. Ἦν τις ἐν Βυζαντίῳ Ζήνων ὄνομα, ἐκείνου
10 Ἀνθεμίου υἱωνὸς, ὅσπερ ἐν τῇ ἑσπερίᾳ τὴν βασιλείαν
τὰ πρότερα ἔσχε. τοῦτον δὴ ἐξεπίτηδες ἄρχοντα ἐπ'
Αἰγύπτου καταστησάμενοι ἔστελλον. ἀλλ' ὁ μὲν χρη- 2
μάτων τὸ πλοῖον τῶν τιμιωτάτων ἐμπλησάμενος τὰ ἐς
τὴν ἀναγωγὴν διέθετο· ἦσαν γὰρ αὐτῷ σταθμός τε
15 ἀργύρου ἀναρίθμητος καὶ χρυσώματα μαργάροις τε
καὶ σμαράγδοις καλλωπισθέντα καὶ λίθοις ἄλλοις
τοιούτοις ἐντίμοις· οἱ δέ τινας ἀναπείσαντες τῶν οἱ
πιστοτάτων εἶναι δοκούντων τὰ μὲν χρήματα ἐνθένδε
ὅτι τάχιστα ἐκφορήσαντες, πῦρ δὲ ἐν κοίλῃ νηὶ ἐμ-
20 βεβλημένοι τῷ Ζήνωνι ἀπαγγέλλειν ἐκέλευον ἀπὸ
ταὐτομάτου τήν τε φλόγα ἐν τῷ πλοίῳ ξυνενηνέχθαι
καὶ διολωλέναι τὰ χρήματα. χρόνῳ δὲ ὕστερον Ζή- 3
νωνι μὲν ἐξαπιναίως ἀπογενέσθαι ξυνέπεσεν, αὐτοὶ δὲ B 78
κύριοι τῆς οὐσίας εὐθὺς ἅτε κληρονόμοι γεγόνασι.
25 διαθήκην γάρ τινα προὔφερον, ἥνπερ οὐ παρ' ἐκείνου 4
ξυγκεῖσθαι διατεθρύλληται.

---

1 ἀντηλλάξαντο P ‖ 4 τοὺς PS] τῶν G ‖ 6 ἔσχον λῃσάμενοι S ‖ 7—8 ξύμπαντα P] πάντα G, σύμπαντα S ‖ 13 τῶν τιμιωτάτων τὸ πλοῖον S ‖ 14 διέθετο Maltr.] διετείνετο codd., διετείνετο πραγματευσάμενος Reiske | γὰρ GP] δὲ S ‖ 18—19 ὅτι τάχιστα ἐνθένδε S ‖ 19—20 ἐκφορήσαντας—ἐμβεβλημένους Reiske ‖ 21 ἐν om. S | ξυνενηνέχθαι P] ξυνηνέχθαι G, ξυνενεχθῆναι S ‖ 25 τινα Alem.] τινὲς codd.

5 P 37 *Καὶ Τατιανοῦ τε καὶ Δημοσθένους καὶ τῆς Ἱλαρᾶς τρόπῳ τῷ ὁμοίῳ σφᾶς αὐτοὺς κληρονόμους πεποίηνται, οἵπερ τά τε ἄλλα καὶ τὸ ἀξίωμα πρῶτοι ἔν γε Ῥωμαίων τῇ βουλῇ ἦσαν. τινῶν δὲ οὐ διαθήκας, ἀλλ'* 6 *ἐπιστολὰς διεσκευασμένοι τὴν οὐσίαν ἔσχον. οὕτω* 5 *γὰρ Διονυσίου τε κληρονόμοι γεγόνασιν, ὃς ἐν Λιβάνῳ ᾤκει, καὶ Ἰωάννου τοῦ Βασιλείου παιδὸς, ὃς δὴ ἐπιφανέστατος μὲν Ἐδεσσηνῶν ἐγεγόνει πάντων, βίᾳ δὲ πρὸς Βελισαρίου ἐν ὁμήρων λόγῳ ἐκδέδοται τοῖς Πέρσαις, ὥσπερ μοι ἐν τοῖς ἔμπροσθεν λόγοις ἐρρήθη.* 10 7 *τοῦτον γὰρ τὸν Ἰωάννην ὁ μὲν Χοσρόης οὐκέτι ἠφίει, ἐπικαλῶν Ῥωμαίοις ἠλογηκέναι τὰ ξυγκείμενα πάντα, ἐφ' οἷς αὐτῷ πρὸς Βελισαρίου δοθεὶς ἐτύγχανεν. ἀπο-* 8 *δίδοσθαι μέντοι ἅτε δορυάλωτον γεγονότα ἠξίου. ἡ δὲ τοῦ ἀνδρὸς μάμμη (περιοῦσα γὰρ ἔτι ἐτύγχανε) τὰ* 15 *λύτρα παρεχομένη οὐχ ἧσσον ἢ δισχιλίας λίτρας ἀρ-* 9 *γύρου τὸν υἱωνὸν ὠνήσεσθαι ἐπίδοξος ἦν. ἀλλ' ἐπεὶ τὰ λύτρα ταῦτα ἐς Δάρας ἦλθε, μαθὼν ὁ βασιλεὺς τὸ συμβόλαιον γενέσθαι οὐκ εἴα, ὡς μὴ ἐς τοὺς βαρ-* 10 *βάρους, εἰπὼν, ὁ Ῥωμαίων κομίζηται πλοῦτος. οὐ* 20 *πολλῷ δὲ ὕστερον τῷ μὲν Ἰωάννῃ νοσήσαντι ξυνέβη ἐξ ἀνθρώπων ἀφανισθῆναι, ὁ δὲ τὴν πόλιν ἐπιτροπεύων ἐπιστολὴν ἀναπλάσας τινὰ ἔφη πρὸς αὐτὸν ἅτε φίλον οὐ πολλῷ ἔμπροσθεν τὸν Ἰωάννην γράψαι ὡς*

10 cf. I 247, 20 ‖ 16—17 *παρεχομένη—ἦν*] *παρεχομένη χιλίας ἀργύρου λίτρας τὸν κτλ.* Suid. s. v. *ἐπίδοξος*

6 *διονύσου S* ‖ 7 *ἰωάννου P*] *ἰῶ S, ἰωάννης G* | *δὴ PS*] om. *G* ‖ 8 *ἐδεσηνῶν GS* | *πάντων* om. *S* ‖ 9 *βελισσαρίου S* | *ἐνδέδοται G* ‖ 14 *δοριάλωτον P*, sed *ι* est in rasura ‖ 15 *ἐτύγχανεν ἔτι G* ‖ 16 *λίτρας G* in marg., *PS*] *λύτρας G* in contextu ‖ 17 *ὠνήσεσθαι G P*] *ὠνήσασθαι S, ὠνεῖσθαι* Suid. ‖ 19 *ξυμβόλαιον S*

οἱ αὐτῷ βουλομένῳ εἴη εἰς τὸν βασιλέα τὴν οὐσίαν
ἐλθεῖν. πάντων δὲ τῶν ἄλλων τὰ ὀνόματα κατα- 11 B79
λέγειν οὐκ ἂν δυναίμην ὧνπερ αὐτόματοι κληρονόμοι
γεγένηνται.

5 Ἀλλὰ μέχρι μὲν οὖν ἡ τοῦ Νίκα καλουμένη στάσις 12
ἐγένετο, κατὰ μίαν διαλέγεσθαι τὰς τῶν εὐδαιμόνων
οὐσίας ἠξίουν· ἐπεὶ δὲ ταύτην, ὥσπερ μοι ἐν τοῖς
ἔμπροσθεν λόγοις ἐρρήθη, γενέσθαι ξυνέβη, τότε δὴ
ἀθρόας σχεδόν τι εἰπεῖν ἁπάντων τῶν ἀπὸ τῆς συγ-
10 κλήτου βουλῆς τὰς οὐσίας δημοσιώσαντες, τὰ μὲν
ἔπιπλα πάντα καὶ τῶν χωρίων ὅσα κάλλιστα ἦν ἧπερ
ἐβούλοντο διεχείρισαν, ἀπολέξαντες δὲ τὰ φόρου πικροῦ
τε καὶ βαρυτάτου ὑποτελῆ ὄντα, φιλανθρωπίας προσχή-
ματι τοῖς πάλαι κεκτημένοις ἀπέδοντο. διὸ δὴ πρός 13
15 τε τῶν φορολόγων ἀγχόμενοι καὶ ἀποκναιόμενοι τό-
κοις ὀφλημάτων ἀειρρύτοις τισὶ δυσθανατοῦντες ἀκού-
σιοι διεβίωσαν. διὸ δὴ ἐμοί τε καὶ τοῖς πολλοῖς ἡμῶν 14
οὐδεπώποτε ἔδοξαν οὗτοι ἄνθρωποι εἶναι, ἀλλὰ δαί-
μονες παλαμναῖοί τινες καὶ ὥσπερ οἱ ποιηταὶ λέγουσι
20 βροτολοιγὼ ἤστην, οἳ δὴ ἐπὶ κοινῆς βουλευσάμενοι
ὅπως ἅπαντα ἀνθρώπεια γένη τε καὶ ἔργα ὡς ῥᾷστα

7 cf. I 123 ss. ‖ 14—17 διὸ δὴ—διεβίωσαν] οἱ ἄνθρωποι ἐπὶ Ἰουστινιανοῦ ὑπὸ τῶν φορολόγων κτλ. Suid. s. v. ἀποκναίειν ‖ 18—19 οὐδεπώποτε—τινες] οὐκ ἄνθρωποι ἔδοξαν εἶναι κτλ. Suid. s. v. παλαμναῖος ‖ 19—20 ὥσπερ—ἤστην] cit. Suid. s. v. βροτολοιγός ‖ 18—80, 3 δαίμονες—κατέσεισαν] δαίμονες ὄντες ἀνθρώπειόν τε κτλ. Suid. s. v. ἀνθρωποδαίμονες

1 τὴν ⟨αὐτοῦ⟩ οὐσίαν Reiske ‖ 3 ὧνπερ PS] ὥπερ G ‖ 9 σχεδόν τι εἰπεῖν scripsi] εἰπεῖν σχεδόν τι codd., cf. I 49, 8 ‖ 10 τὰς G] τῆς PS ‖ 12 διεχείρισαν G rec. m. corr.] διεχείρησαν G pr. m., PS ‖ 16 ἀειρρύτοις] τοις evanuit in S ‖ 18 ἄνθρωποι ἔδοξαν οὗτοι P, ἔδοξαν ἄνθρωποι οὗτοι S ‖ 19 τινες] νες evanuit in S ‖ 20 βροτολοιγὼ Suid.] βροτολοιγοὶ codd.

καὶ τάχιστα διαφθείρειν ἱκανοὶ εἶεν, ἀνθρώπειόν τε ἠμπίσχοντο σχῆμα καὶ ἀνθρωποδαίμονες γεγενημένοι τῷ τρόπῳ τούτῳ ξύμπασαν τὴν οἰκουμένην κατέσεισαν.
15 *τεκμηριώσαι δ' ἄν τις τὸ τοιοῦτο πολλοῖς τε [καὶ] ἄλλοις καὶ τῇ τῶν πεπραγμένων δυνάμει. τὰ γὰρ δαιμόνια τῶν ἀνθρωπείων ξυμβαίνει πολλῷ τῷ διαλ-*
16 *λάσσοντι διακεκρίσθαι. πολλῶν ἀμέλει γεγονότων ἐκ τοῦ παντὸς αἰῶνος ἀνθρώπων τύχῃ ἢ φύσει φοβερῶν ἐς τὰ μάλιστα, οἱ μὲν πόλεις, οἱ δὲ χώρας, ἢ ἄλλο τι τοιοῦτο καθ' αὑτοὺς ἔσφηλαν, ὄλεθρον δὲ* 10
B 80 P 38 *ξυμπάντων ἀνθρώπων ξυμφοράς τε γῆς τῆς οἰκουμένης ἁπάσης οὐδεὶς ὅτι μὴ οὗτοι ἄνθρωποι ἐργάζεσθαι ἱκανῶς ἔσχον. ὧν δὴ καὶ ἡ τύχη ὑπούργει τῇ γνώμῃ συγκατεργαζομένη τῶν ἀνθρώπων διαφθοράν*
17 *σεισμοῖς τε γὰρ καὶ λοιμοῖς καὶ ὑδάτων ποταμίων* 15 *ἐπιρροαῖς ὑπὸ τὸν χρόνον τοῦτον πλεῖστα διολωλέναι τετύχηκεν, ὥς μοι αὐτίκα λελέξεται. οὕτως οὐκ ἀνθρωπείῳ, ἀλλ' ἑτέρῳ σθένει τὰ δεινὰ ἔπρασσον.*

18 *Λέγουσι δὲ αὐτοῦ καὶ τὴν μητέρα φάναι τῶν ἐπιτηδείων τισὶν ὡς οὐ Σαββατίου τοῦ αὐτῆς ἀνδρὸς* 20
19 *οὐδὲ ἀνθρώπων τινὸς υἱὸς εἴη. ἡνίκα γὰρ αὐτὸν κύειν ἔμελλεν, ἐπιφοιτᾶν αὐτῇ δαιμόνιον οὐχ ὁρώμενον, ἀλλ' αἴσθησίν τινα ὅτι δὴ πάρεστιν αὐτῇ παρασχὸν ἅτε ἄνδρα γυναικὶ πλησιάσαντα, καθάπερ ἐν ὀνείρῳ ἀφανισθῆναι.* 25

---

2 *ἠμπέσχοντο* G et Suid. | *σχῆμα* G corr., *PS*] *σῶμα* G pr. m., Suid. ‖ 3 *κατέσεισαν τὴν οἰκουμένην* Suid. ‖ 4 *τεκμηριώσαι* P, Piccolos, Dind.] *τεκμηριώση* G S | *τε* Dind.] *τε καὶ* codd. ‖ 6 *ἀνθρωπείων*] *ἄνων* S ‖ 7 *γεγονότων* G pr. m. ‖ 10 *αὑτοὺς* vel *ὅλον* Alem.] *αὐτοῦ* codd., *αὐτὸ* Dind. ‖ 12 *οὗτοι* ⟨*οἱ*⟩ Reiske ‖ 13 *ὑπούργει* Dind.] *ὑπουργεῖ* codd. ‖ 14 *τῶν*] malim *τὴν* ‖ 15 *ποταμίων* Alem.] *ποταμῶν* codd. ‖ 21 *εἴη υἱός* S ‖ 24 *ἅτε*] *εἶτα ἅτε* Reiske | *πλησιάσαντα γυναικὶ* S

Τινὲς δὲ τῶν αὐτῷ παρόντων τε πόρρω που τῶν 20
νυκτῶν καὶ ξυγγινομένων ἐν Παλατίῳ δηλονότι, οἷσπερ
ἐν καθαρῷ ἡ ψυχὴ ἦν, φάντασμά τι θεάσασθαι δαι-
μόνιον ἄηθες σφίσιν ἀντ᾽ αὐτοῦ ἔδοξαν. ὁ μὲν γὰρ 21
5 *ἔφασκεν ἄφνω μὲν αὐτὸν θρόνου τοῦ βασιλείου*
ἐξαναστάντα περιπάτους ἐνταῦθα ποιεῖν· συχνὸν γὰρ
καθῆσθαι οὐδαμῇ εἴθιστο· τῆς δὲ κεφαλῆς ἐν τῷ
παραυτίκα τῷ Ἰουστινιανῷ ἀφανισθείσης τὸ ἄλλο οἱ
σῶμα τούτους δὴ τοὺς μακροὺς διαύλους ποιεῖν δοκεῖν,
10 *αὐτόν τε ἅτε οἱ τῶν ⟨ὀμμάτων⟩ περὶ τὴν θέαν ὡς*
ἥκιστα ὑγιαινόντων, ἀσχάλλοντα καὶ διαπορούμενον
ἐπὶ πλεῖστον ἑστάναι. ὕστερον μέντοι τῆς κεφαλῆς 22
τῷ σώματι ἐπανηκούσης τὰ τέως λειπόμενα οἴεσθαι B 81
παρὰ δόξαν ἀναπιμπλάναι. ἄλλος δὲ παρεστάναι οἱ 23
15 *καθημένῳ ἔφη, ἐκ δὲ τοῦ αἰφνιδίου τὸ πρόσωπόν οἱ*
κρέατι ἀσήμῳ ἰδεῖν ἐμφερὲς γεγονός· οὔτε γὰρ ὀφρῦς
οὔτε ὀφθαλμοὺς ἐπὶ χώρας τῆς αὐτῶν ὄντας οὔτε ἄλλο
τι τὸ παράπαν ἔφερε γνώρισμα· χρόνου μέντοι αὐτῷ
τὸ σχῆμα τῆς ὄψεως ἐπανῆκον ἰδεῖν. ταῦτα οὐκ αὐτὸς
20 *θεασάμενος γράφω, ἀλλὰ τῶν τότε θεάσασθαι ἰσχυρι-*
ζομένων ἀκούσας.

1—4 *Τινὲς—δαιμόνιον*] cit. Suid. s. v. *πόρρω τῶν νυκτῶν* ‖ 9 *τούτους—ποιεῖν*] cit. Suid. s. v. *δίαυλος* ‖ 19—21 *ταῦτα—ἀκούσας*] *ταῦτα γράφω, οὐκ αὐτὸς θεασάμενος, ἀλλὰ κτλ.* Suid. s. v. *ἰσχυρίζετο.*

---

1 *τε* om. Suid. | *που GP*] *ποι S* ‖ 2 *καὶ—Παλατίῳ*] om. Suid. ‖ 3 *ἦν* Suid.] *εἴη* codd. | *φάντασμά*] *φάσμα* Suid. | *τι* Reiske] *τε* codd., om. Suid. ‖ 4 *μὲν* evanuit in *S* ‖ 9 *μακροὺς* Suid.] om. codd. | *ποιεῖσθαι* Suid. ‖ 10 ⟨*ὀμμάτων*⟩ Alem.] om. codd. ‖ 11 *ἀσχάλοντα G* | *διαπορευόμενον G, διαπορευόμενα P* ‖ 13 *οἴεσθαι*] *ὁρᾶσθαι* Alem. ‖ 14 *ἀναπιμπλάναι*] malim *ἀναπίμπλασθαι* | *ἄλλος* adnotavit Alem. in *G*] *ἄνος GS, ἀνο P* ‖ 20 *τότε* om. Suid. ‖ 20—21 *ἰσχυριζομένων ἀκούσας*] *νων ἀκου* evanuit in *S*

24 *Λέγουσι δὲ καὶ μοναχόν τινα τῷ θεῷ ἐς τὰ μάλιστα φίλον πρὸς τῶν αὐτῷ γῆν τὴν ἔρημον ξυνοικούντων ἀναπεισθέντα σταλῆναι μὲν ἐς Βυζάντιον τοῖς ἄγχιστα σφίσιν ἐνῳκημένοις ἐπαμυνοῦντα, βιαζομένοις τε καὶ ἀδικουμένοις ἀνύποιστα, ἐνταῦθα δὲ ἀφικόμενον αὐτίκα* 5
25 *εἰσόδου τῆς παρὰ τὸν βασιλέα τυχεῖν· μέλλοντα δὲ εἴσω παρ' αὐτὸν γενέσθαι, ἀμεῖψαι μὲν τὸν ἐκείνῃ οὐδὸν θατέρῳ τοῖν ποδοῖν, ἐξαπιναίως δὲ ἀναποδίζοντα ὀπίσω*
26 *ἰέναι. εὐνοῦχον μὲν οὖν τὸν εἰσαγωγέα καὶ τοὺς τῇδε παρόντας πολλὰ τὸν ἄνθρωπον λιπαρεῖν ἐπίπροσθεν* 10 *βαίνειν, τὸν δὲ οὐδέν τι ἀποκρινάμενον, ἀλλὰ καὶ παραπλῆγι ἐοικότα ἐνθένδε ἀπαλλαγῆναι ἐς τὸ δωμάτιον, οὗ δὴ κατέλυε, γεγονότα· τῶν τέ οἱ ἑπομένων ἀναπυνθανομένων ὅτου ἕνεκα ταῦτα ποιοίη, φάναι λέγουσιν αὐτὸν ἄντικρυς ὡς τῶν δαιμόνων τὸν ἄρ-* 15 *χοντα ἐν τῷ Παλατίῳ ἐπὶ τοῦ θρόνου καθήμενον ἴδοι,*
P 39 *ᾧ δὴ ξυγγενέσθαι ἤ τι παρ' αὐτοῦ αἰτεῖσθαι οὐκ ἂν*
27 *ἀξιοίη. πῶς δὲ οὐκ ἔμελλεν ὅδε ὁ ἀνὴρ δαίμων τις ἀλιτήριος εἶναι, ὅς γε ποτοῦ ἢ σιτίων ἢ ὕπνου εἰς κόρον οὐδέποτε ἦλθεν, ἀλλ' ἀμηγέπη τῶν παρατεθέν-* 20
B 82 *των ἀπογευσάμενος ἀωρὶ νύκτωρ περιήρχετο τὰ βασίλεια, καίπερ ἐς τὰ ἀφροδίσια δαιμονίως ἐσπουδακώς.*

9—11 *εὐνοῦχον—βαίνειν*] cit. Suid. s. v. *εἰσαγωγεύς* ‖ 12 *παραπλῆγι κτλ.*] *παραπλῆγι ἐοικότα ἐνθένδε ἀπαλλαγῆναι* Suid. s. v. *παραπλήξ*. ‖ 12—13 *εἰς—κατέλυε*] cit. Suid. s. v. *κατέλυεν* ‖ 18—19 *πῶς—εἶναι*] *ἢ πῶς οὐκ κτλ.* Suid. s. v. *ἀλιτηρίους* ‖ 22 *ἐς—ἐσπουδακώς*] *ὁ δὲ ἐς κτλ.* Suid. s. v. *δαιμονίως*

---

7 *ἐκείνῃ οὐδὸν P*] *ἐκείσε οὐδὸν G*, *///νη οὐδὲν S* ‖ 8 *τοῖν ποδοῖν PS*] *τὼ πόδε G* | *δὲ GP*] *γὰρ S* ‖ 12 *ἐνθένδε ἀπαλλαγῆναι* Suid.] om. codd. ‖ 16 *τοῦ* om. *S* ‖ 18 *ὁ* om. Suid. | *ἀνὴρ*] *ἄνθρωπος* Suid. ‖ 20 *ἀμηγέπη PS*] *ἀμωσγέπως G*

Λέγουσι δὲ καὶ τῶν Θεοδώρας ἐραστῶν τινες, 28
ἡνίκα ἐπὶ τῆς σκηνῆς ἦν, νύκτωρ τι αὐτοῖς ἐπισκῆψαν
δαιμόνιον ἐξελάσαι τοῦ δωματίου, ἵνα δὴ σὺν αὐτῇ
ἐνυκτέρευον. ὀρχηστρὶς δέ τις Μακεδονία ὄνομα ἐγε-
5 γόνει τοῖς ἐν Ἀντιοχεῦσι Βενέτοις, δύναμιν περιβε-
βλημένη πολλήν. γράμματα γὰρ Ἰουστινιανῷ γρά- 29
φουσα ἔτι τοῦ Ἰουστίνου διοικουμένῳ τὴν βασιλείαν,
οὓς ἂν βούλοιτο τῶν ἐν τοῖς ἑῴοις λογίμων ἀνῄρει
οὐδενὶ πόνῳ, καὶ αὐτῶν τὰ χρήματα ἐποίει ἀνάγραπτα
10 ἐς τὸ δημόσιον γίνεσθαι. ταύτην τὴν Μακεδονίαν 30
φασὶν ἐξ Αἰγύπτου τε καὶ Λιβύης ποτὲ ἥκουσαν τὴν
Θεοδώραν ἀσπαζομένην, ἐπειδὴ λίαν δυσφορουμένην
τε αὐτὴν καὶ ἀσχάλλουσαν εἶδεν οἷς δὴ περιύβριστό
τε πρὸς τοῦ Ἑκηβολίου καὶ χρήματά οἱ ἐν τῇ ὁδῷ
15 ταύτῃ ἀπολώλει, πολλὰ παρηγορεῖν τε καὶ παραθρα-
σύνειν τὴν ἄνθρωπον ἅτε τῆς τύχης οἵας τε οὔσης
καὶ αὖθις αὐτῇ χορηγοῦ γενέσθαι χρημάτων μεγάλων.
τότε λέγουσι τὴν Θεοδώραν εἰπεῖν ὡς καὶ ὄναρ αὐτῇ 31
ἐπισκῆψαν τὴν νύκτα ἐκείνην πλούτου ἕνεκα μηδεμίαν
20 κελεύσαι ποιεῖσθαι φροντίδα. ἐπειδὰν γὰρ εἰς Βυ- 32
ζάντιον ἵκοιτο, τῷ τῶν δαιμόνων ἄρχοντι ἐς εὐνὴν

---

11 cf. III 61, 12

---

4 ἐνυκτέρευον codd., Kraš.] ἐνυκτέρευεν Maltr. | ὀρχιστρὶς S || 5 βενέταις superscr. οι G || 5—6 περιβεβλημένην G || 7 ἰουστίνου S] ἰουστινιανοῦ G P | διοικουμένῳ scripsi] διοικουμένου codd., cf. Hy 1, p. 10 || 10 τὸ Alem.] τὸν codd. || 11 φασὶν] φησὶν P || 12 ἀσπαζομένην vel ἀσπασαμένην G in marg.] ἀσπασομένην G in contextu, P S || 13 ἀσχάλουσαν G || 14 Ἑκηβολίου] Ἑκήβολος dicitur III 61, 6 | καὶ om. P | χρήματά] ⟨τῷ⟩ χρήματά Reiske || 15 ἀπολώλει Alem.] ἀπολωλέναι codd. | πολλὰ Alem.] ἀλλὰ codd. || 15—16 παραθρασύνην S || 19 ἐπισκῆψαν codd.] ⟨φάσμα⟩ ἐπισκῆψαν Orelli, ⟨φάσμα τι⟩ conic. Kraš., malim ⟨δαιμόνιόν τι⟩ ἐπισκῆψαν, cf. supra vers. 3 || 20 κελεύσαι Dind.] κελεῦσαι codd. | εἰς τὸ S

ἥξειν, τούτῳ τε ἅτε γαμετὴν γυναῖκα ξυνοικήσεσθαι
μηχανῇ πάσῃ, καὶ ἀπ' αὐτοῦ κυρίαν αὐτὴν πάντων
χρημάτων γενήσεσθαι.

ιγ'. Ἀλλὰ ταῦτα μὲν οὕτω δὴ δόξης τοῖς πλείστοις
□ *εἶχεν. Ἰουστινιανὸς δὲ τοιοῦτος μὲν ⟨ἦν⟩ τὸ ἄλλο* 5
B 83 *ἦθος οἷος δεδήλωται, εὐπρόσιτον δὲ παρεῖχεν αὐτὸν*
καὶ πρᾶον τοῖς ἐντυγχάνουσιν, οὐδενί τε τῶν πάντων
ἀποκεκλεῖσθαι τῆς εἰς αὐτὸν εἰσόδου συνέβαινεν, ἀλλὰ
καὶ τοῖς οὐκ ἐν κόσμῳ παρ' αὐτῷ ἑστῶσιν ἢ φθεγγο-
2 *μένοις οὐδεπώποτε χαλεπῶς ἔσχεν. οὐ μέντοι διὰ* 10
ταῦτα ἠρυθρία τινὰ τῶν πρὸς αὐτοῦ ἀπολουμένων.
οὐ μὴν οὐδὲ ὀργῆς πώποτε ἢ ἀκροχολίας τι ὑποφαίνων
ἐς τοὺς προσκεκρουκότας ἔνδηλος γέγονεν, ἀλλὰ πρᾶος
μὲν τῷ προσώπῳ, καθειμέναις δὲ ταῖς ὀφρύσιν, ὑφει-
μένῃ δὲ τῇ φωνῇ ἐκέλευε μυριάδας μὲν διαφθεῖραι 15
μηδὲν ἠδικηκότων ἀνθρώπων, πόλεις δὲ καθελεῖν,
χρήματά τε ἀνάγραπτα ἐς τὸ δημόσιον πάντα ποιεῖσθαι.
□ 3 P 40 *εἴκασεν ἄν τις ἐκ τοῦδε τοῦ ἤθους προβατίου γνώμην*
τὸν ἄνθρωπον ἔχειν. ἢν μέντοι τις αὐτὸν ἱλεούμενος
τοὺς παραπεπτωκότας ἱκεσίοις λιταῖς παραιτεῖσθαι 20
πειρῷτο, ἐνταῦθα ἠγριωμένος τε καὶ σεσηρὼς μεστοῦ-
σθαι ἐδόκει, ὡς μή τινι τῶν οἱ ἐπιτηδείων δοκούντων
εἶναι ἐξαιτεῖσθαι ἐν ἐλπίδι τὸ λοιπὸν εἴη.

---

1 *ἅτε* *G P*] *ἅμα* *S* | *ξυνοικήσεσθαι* Reiske] *ξυνοικήσασθαι* codd. ‖ 3 *γενήσεσθαι*] *γεγενημένην* superscr. *γρ.* *γενέσθαι* *G* ‖ 5 ⟨*ἦν*⟩ Kraš.] om. codd. ‖ 6 *ἦθος* *G P*] *εἶδος* *S* | *οἷος* *G P*] *οἷς* *S* | *εὐπρόσιτον* *PS*] *ἀπρόσιτον* *G* | *αὐτὸν* *G* ‖ 7 *καὶ* evanuit in *S* | *ἐντυγχάνουσι* *G* ‖ 8 *συνέβαινε* *G* ‖ 9 *αὐτῷ* *S*] *αὐτὸν* *G P* ‖ 10 *οὐδε-πώποτε* *PS*] *οὐδέποτε* *G* ‖ 10—11 *διὰ ταῦτα* *PS*] om. *G* ‖ 11 *ἀπο-λομένων* *G P* ‖ 12 *ἢ ἀκροχολίας τι* *P S*] *τι ἢ ἀκροχολίας* *G* ‖ 15 *διαφθεῖραι* *P S*] *διαφθαρῆναι* *G* ‖ 17 *τὸ*] *τὸν* *G*, *γρ.* *ἐς τὸν δημόσιον* *P* in marg. ‖ 21 *πειρῷτο* *S* pr. m.] *ἐπειρᾶτο* *S* corr., *ἐπειρῶτο* *G P* ‖ 22—85, 1 *ὡς μή—ἐδόκει* *P S*] om. *G* ‖ 22 *οἱ* *S*] om. *P*

Δόξαν δὲ βέβαιον ἀμφὶ τῷ Χριστῷ ἔχειν ἐδόκει, 4
ἀλλὰ καὶ τοῦτο ἐπὶ φθόρῳ τῶν κατηκόων. τοῖς τε
γὰρ ἱερεῦσιν ἀδεέστερον τοὺς πέλας ξυνεχώρει βιάζε-
σθαι καὶ ληϊζομένοις τὰ τῶν ὁμόρων συνέχαιρεν, εὐ-
5 σεβεῖν ταύτῃ ἀμφὶ τὸ θεῖον οἰόμενος. δίκας τε τοι- 5
αύτας δικάζων τὰ ὅσια ποιεῖν ᾤετο, ἤν τις ἱερῶν λόγῳ
τῶν τι οὐ προσηκόντων ἁρπάσας νενικηκώς τε ἀπιὼν
οἴχοιτο. τὸ γὰρ δίκαιον ἐν τῷ περιεῖναι τοὺς ἱερέας
τῶν ἐναντίων ᾤετο εἶναι. καὶ αὐτὸς δὲ κτώμενος ἐξ 6
10 οὐ προσηκόντων τὰς τῶν περιόντων ἢ τετελευτηκότων
οὐσίας, καὶ ταύτας τῶν τινι νεῶν εὐθὺς ἀνατιθεὶς τῷ
τῆς εὐσεβείας ἐφιλοτιμεῖτο παραπετάσματι, ὡς μὴ ἐς B 84
τοὺς βιασθέντας ἡ τούτων αὖθις ἐπανίοι κτῆσις. ἀλλὰ 7 □
καὶ φόνων ἀριθμὸν ἄκριτον διὰ ταῦτα εἰργάζετο. ἐς
15 μίαν γὰρ ἀμφὶ τῷ Χριστῷ δόξαν ⟨συναγαγεῖν⟩ ἅπαντας
ἐν σπουδῇ ἔχων λόγῳ οὐδενὶ τοὺς ἄλλους ἀνθρώπους
διέφθειρε, καὶ ταῦτα ἐν τῷ τῆς εὐσεβείας προσχήματι
πράσσων· οὐ γάρ οἱ ἐδόκει φόνος ἀνθρώπων εἶναι,
ἤν γε μὴ τῆς αὐτοῦ δόξης οἱ τελευτῶντες τύχοιεν
20 ὄντες. οὕτως ἦν αὐτῷ κατεσπουδασμένος ὁ τῶν ἀν- 8
θρώπων ἐς ἀεὶ φθόρος, ἐπινοῶν τε ξὺν τῇ γαμετῇ
οὔποτε ἀνίει τὰς ἐς τοῦτον φερούσας αἰτίας. ἄμφω 9
γὰρ τώδε τὼ ἀνθρώπω τὰς μὲν ἐπιθυμίας ἐκ τοῦ ἐπὶ
πλεῖστον ἀδελφὰς εἶχον, οὗ δὲ αὐτοῖς καὶ διαλλάσσειν

---

16 Mal. 468, 1 ‖ 20—21 οὕτως—φθόρος] cit. Suid. s. v. φθόρος

---

1 ἐδόκει ἔχειν P ‖ 3 συνεχώρει G ‖ 4 ξυνέχαιρεν P ‖ 4—5 εὐσε-βεῖν G P] ἀσεβεῖν S ‖ 8 οἴχοιτο P S] ᾤχετο G ‖ 13 ἡ P S] οἱ G | ἐπανίοι Dind.] ἐπανίῃ G corr., P S, ἐπανίει G pr. m. ‖ 15 ⟨συν-αγαγεῖν⟩ addidit Maltr.] om. codd., συνδραμεῖν Alem. ‖ 20 αὐ-τῷ Suid.] om. codd. ‖ 21 ἐς om. Suid. ‖ 22 εἰς G ‖ 23 μὲν P S] om. G

τὸν τρόπον ξυνέβη, πονηρὸς μὲν ἑκάτερος ἦν, τὰ μέντοι ἐναντιώτατα ἐνδεικνύμενοι τοὺς ὑπηκόους διέφθει-
10 ρον. ὁ μὲν γὰρ κονιορτοῦ τὰ ἐς τὴν γνώμην κουφότερος ἦν, ὑποκείμενος τοῖς ἀεὶ παράγειν ὅποι ποτ' ἐδόκει βουλομένοις αὐτόν, ἢν μὴ τὸ πρᾶγμα ἐς φιλαν- 5 θρωπίαν ἢ ἀκερδίαν ἄγοι, θῶπάς τε λόγους ἐνδελε-
11 χέστατα προσιέμενος. ἔπειθον γὰρ αὐτὸν οἱ κολακεύοντες οὐδενὶ πόνῳ ὅτι μετέωρος ἀρθείη καὶ ἀεροβατοίη.
12 Καί ποτε αὐτῷ παρεδρεύων Τριβωνιανὸς ἔφη περιδεὴς ἀτεχνῶς εἶναι μή ποτε αὐτὸν ὑπὸ εὐσεβείας ἐς 10 τὸν οὐρανὸν ἀναληφθεὶς λάθοι [ταῦτα]. τοιούτους δὲ τοὺς ἐπαίνους ἤτοι σκώμματα ἐν τῷ τῆς διανοίας ἐποι-
13 εῖτο βεβαίῳ. ἀλλὰ καί του θαυμάσας, ἂν οὕτω τύχοι, τὴν ἀρετήν, ὀλίγῳ ὕστερον ἅτε πονηρῷ ἐλοιδορεῖτο.
B 85 καὶ κακίσας τῶν τινα ὑπηκόων αὖθις αὐτοῦ ἐπαινέτης 15
14 ἐγίνετο λόγῳ, ἐξ οὐδεμιᾶς μεταβεβλημένος αἰτίας. τὰ γὰρ τῆς γνώμης αὐτῷ ἐξ ἐναντίας ᾔει ὧν τε αὐτὸς
15 ἔλεγε καὶ ἐβούλετο ἔνδηλος εἶναι. ὅπως μέντοι ὁ τρόπος αὐτῷ τὰ ἐς φιλίαν τε καὶ ἔχθος εἶχεν, ὑπεῖπον ἤδη, τοῖς τῷ ἀνθρώπῳ ἐκ τοῦ ἐπὶ πλεῖστον εἰργασμέ- 20
16 νοις τεκμηριώσας. ἐχθρὸς μὲν γὰρ ἀσφαλής τε καὶ
P 41 ἄτρεπτος ἦν, ἐς δὲ τοὺς φίλους ἄγαν ἀβέβαιος. ὥστε ἀμέλει τῶν μέν οἱ ἐσπουδασμένων κατειργάσατο πλείστους, φίλος δὲ τῶν πώποτε μισουμένων οὐδενὶ γέ-

9 cf. Hes. Mil. in Müll. *FHG* IV 176 (64). Zach. 188, 29

1 συνέβη *P* ‖ 4 ὑποκείμενος *G P*] ἀποκείμενος *S* | παράγειν *P S*] παράγουσιν *G* | ὅπη *P* ‖ 4—5 ποτ' ἐδόκει Alem.] ποτὲ δοκεῖ codd. ‖ 10 αὐτὸν codd.] αὐτὸς Maltr. | εἰς *S* ‖ 11 λάθοι Alem.] λάθοι ταῦτα codd. ‖ 12 τοὺς] πλαστοὺς Piccolos | σκώμματα *G P*] om. *S* ‖ 13 ⟨καί⟩ του Reiske] του codd. | τύχῃ *S* ‖ 16 ἐγένετο *S* | λόγῳ] ⟨οὐδενὶ⟩ λόγῳ Reiske, frustra ‖ 19 φιλίαν τε] φιλανθρωπίαν *P*

γονεν. οὓς δὲ μάλιστα γνωρίμους καὶ ἐπιτηδείους 17
ἔδοξεν ἔχειν, τούτους τῇ ὁμόζυγι ἢ ἄλλῳ ὁτῳοῦν χαρι-
ζόμενος ἀπολουμένους οὐκ ἐς μακρὰν προὔδωκε, καίπερ
εὖ εἰδὼς ὅτι δὴ τῆς ἐς αὐτὸν εὐνοίας ἕνεκα τεθνή-
5 ξονται μόνης. ἄπιστος γὰρ ἐν πᾶσι πλήν γε δὴ τῆς 18
τε ἀπανθρωπίας καὶ φιλοχρηματίας διαφανῶς ἦν. ταύ-
της γὰρ αὐτὸν ἀποστῆσαι δυνατὸν οὐδενὶ γέγονεν.
ἀλλὰ καὶ ἐς ἃ πείθειν αὐτὸν ἡ γαμετὴ οὐκ εἶχε, χρη- 19
μάτων αὐτῷ μεγάλων ἐλπίδας ἐκ τοῦ ἔργου ἐσομένων
10 ἐμβαλομένη ἐς τὴν πρᾶξιν ἥνπερ ἐβούλετο οὔτι ἐθε-
λούσιον τὸν ἄνδρα ἐφεῖλκε. κέρδους γὰρ οὐκ εὐπρε- 20
ποῦς ἕνεκα καὶ νόμους τιθέναι καὶ αὖ πάλιν αὐτοὺς
καθελεῖν οὐδαμῇ ἀπηξίου.

Ἐδίκαζέ τε οὐ κατὰ τοὺς νόμους, οὓς αὐτὸς ἔγρα- 21
15 ψεν, ἀλλ' ἔνθα ἂν αὐτὸν μείζων τε ὀφθεῖσα καὶ με-
γαλοπρεπεστέρα ἡ τῶν χρημάτων ὑπόσχεσις ἄγοι. καὶ 22
κατὰ μικρὸν γὰρ κλέπτοντι ἀφαιρεῖσθαι τὰς τῶν ὑπη-
κόων οὐσίας αἰσχύνην αὐτῷ φέρειν τινὰ οὐδαμῇ ᾤετο,
ἡνίκα δὴ οὐχ ἀπαξάπαντα ἀφελέσθαι λόγῳ τινὶ εἶχεν B 86
20 ἢ ἔγκλημα ἐπενεγκὼν ἀπροσδόκητον, ἢ διαθήκης οὐ
γεγενημένης προσχήματι. ἔμεινέ τε αὐτοῦ Ῥωμαίων ἄρ- 23
χοντος, οὐ πίστις ἢ δόξα πρὸς θεὸν ἀσφαλὴς, οὐ νόμος
ὀχυρὸς, οὐ πρᾶξις βεβαία, οὐ συμβόλαιον οὐδέν. στελ- 24
λομένων δὲ πρὸς αὐτοῦ τῶν οἱ ἐπιτηδείων ἐπί τινα
25 πρᾶξιν, εἰ μὲν δὴ αὐτοῖς ἀπολωλεκέναι ξυνέβη τῶν

---

2 ὁμόζυγι Reiske] ὁμοζυγία codd. ‖ 6 τε om. *P* ‖ 7 ἀποστῆσαι Alem.] ἀπιστῆσαι codd. ‖ 9 αὐτῷ] γὰρ τῷ *P* ‖ 10 ἐμβαλλομένη *S* | εἰς *G* | ἥνπερ Reiske] ἥπερ codd. ‖ 13 καθελεῖν *PS*] καθέλκειν *G* ‖ 21 γεγενημένης *GP*] γενομένης *S* ‖ 22 ἢ δόξα πρὸς (ἐς *P*) θεὸν ἀσφαλὴς *PS*] πρὸς θεὸν ἀσφαλὴς ἢ δόξα *G* ‖ 24 ἐπιτηδείων *PS*] ἐπιτηδείων τινὲς *G*

σφίσι παραπεπτωκότων πολλοὺς καὶ χρημάτων τι ληΐσασθαι πλῆθος, οὗτοι δὴ εὐθὺς εὐδόκιμοι τῷ αὐτοκράτορι ἐδόκουν τε εἶναι καὶ ὀνομάζεσθαι ἅτε δὴ ἅπαντα ἐς τὸ ἀκριβὲς τὰ ἐπηγγελμένα ἐπιτελέσαντες· εἰ δὲ φειδοῖ τινι ἐς ἀνθρώπους χρησάμενοι παρ' αὐτὸν ἵκοντο, δύσνους τε αὐτοῖς τὸ λοιπὸν καὶ πολέμιος ἦν. 25 ἀπογνούς τε, ὥσπερ ἀρχαιότροπόν τινα τὴν τῶν ἀνδρῶν φύσιν, ἐς τὴν ὑπουργίαν οὐκέτι ἐκάλει. ὥστε καὶ πολλοὶ ἐν σπουδῇ ἐποιοῦντο ἐνδείκνυσθαι αὐτῷ ὡς πονηροὶ εἶεν, καίπερ σφίσι τῶν ἐπιτηδευμάτων οὐ 26 ταύτῃ ἐχόντων. ὑποσχόμενος δέ τισι πολλάκις καὶ ὅρκῳ ἢ γράμμασι τὴν ὑπόσχεσιν ὀχυρωτέραν πεποιημένος, εὐθὺς ἐθελούσιος ἐς λήθην ἀφῖκτο, δόξης τι 27 φέρειν αὐτῷ τὸ ἔργον τοῦτο οἰόμενος. καὶ ταῦτα ὁ Ἰουστινιανὸς οὐ μόνον ἐς τοὺς ὑπηκόους ἔπρασσεν, ἀλλὰ καὶ ἐς τῶν πολεμίων πολλούς, ὥσπερ μοι εἴρηται ἔμπροσθεν.

28 Ἦν τε ἄυπνός τε ὡς ἐπὶ πλεῖστον εἰπεῖν καὶ σιτίοις μὲν ἢ ποτῷ κατακορὴς οὐδαμῇ γέγονεν, ἀλλὰ σχεδόν 29 τι ἄκρῳ δακτύλῳ ἀπογευσάμενος ἀπηλλάσσετο. ὥσπερ B 87 γάρ τι αὐτῷ πάρεργον τῆς φύσεως αὐτὸν ἀγγαρευο-

18—20 σιτίοις—ἀπηλλάσσετο] σιτίοις καὶ ποτῷ κτλ. Suid. s. v. κατακορής. ‖ 20—89, 1 ὥσπερ—εἶναι] cit. Suid. s. v. ἄγγαρος

1 τι] Aut delendum aut ⟨μέγα⟩ τι legendum Reiske ‖ 3 ὀνομάζεσθαι] ὠνομάζοντο Reiske ‖ 4 τελέσαντες P ‖ 5—6 ἵκοντο S] ἵκοιντο G P ‖ 13 εἰς P ‖ 14—15 ὁ ἰουστινιανὸς codd.] Ἰουστινιανῷ Reiske ‖ 15 ἔπρασσεν scripsi] ἐπράσσετο codd., cf. III 51, 5 ‖ 18 τε 1] δὲ Reiske | ἄυπνός τε Reiske] ἄοκνός τε codd. | ὡς ἐπὶ πλεῖστον scripsi] καὶ ἐπὶ πλεῖστον codd., καὶ ⟨ἄσιτος⟩ ἐπὶ πλεῖστον Reiske et Dind., cf. I 444, 7 | εἰπεῖν] secludendum videtur Orellio ‖ 20 τι ἄκρῳ Reiske] τἄκρω codd., ἄκρῳ Suid. | γευσάμενος ἀπηλλάττετο Suid. ‖ 21 τῆς] τὸ ἐσθίειν τῆς Suid. ‖ 21—89, 1 αὐτὸν ἀγγαρευούσης περὶ τὰ βρώματα ἐφαίνετο εἶναι Suid. ‖ 21 αὐτὸν P S] om. G

μένης τὰ τοιαῦτα ἐφαίνετο εἶναι, ἐπεὶ καὶ ἀπόσιτος
ἡμέρας τε καὶ νύκτας δύο τὰ πολλὰ ἔμενεν, ἄλλως τε
ἡνίκα ὁ πρὸ τῆς Πασχαλίας καλουμένης ἑορτῆς χρόνος
ἐνταῦθα ἄγοι. τότε γὰρ πολλάκις ἡμέραιν δυοῖν, 30
5 ὥσπερ εἴρηται, γεγονὼς ἄσιτος ὕδατί τε βραχεῖ ἀπο-
ζῆν ἐπηξίου καὶ βοτάναις ἀγρίαις τισίν, ὥραν τε, ἂν
οὕτω ⟨τύχοι⟩, καταδαρθὼν μίαν, εἶτα περιπάτους ἀεὶ P 42
ποιούμενος τὸν ἄλλον κατέτριβε χρόνον. καίτοι εἰ 31
τοῦτον αὐτὸν καιρὸν ἐς πράξεις δαπανᾶν ἀγαθὰς ἤθε-
10 λεν, ἐπὶ μέγα ἄν τι εὐδαιμονίας ἐκεχωρήκει τὰ πράγ-
ματα. νῦν δὲ τῇ φύσεως ἰσχύϊ ἐπὶ τῷ Ῥωμαίων πο- 32
νηρῷ χρώμενος ξύμπασαν αὐτῶν τὴν πολιτείαν ἐς τὸ
ἔδαφος καθελεῖν ἴσχυσεν. ἐγρηγορέναι τε γὰρ διηνεκὲς
καὶ ταλαιπωρεῖν καὶ πονεῖσθαι οὐκ ἄλλου του ἕνεκα
15 ἔργον πεποίηται ἢ ὥστε κομπωδεστέρας ἀεὶ καθ' ἑκά-
στην τοῖς ὑπηκόοις ἐπιτεχνᾶσθαι τὰς συμφοράς. ἦν 33
γὰρ ὅπερ εἴρηται, διαφερόντως ὀξὺς ἐπινοῆσαί τε καὶ
ταχὺς ἀποτελέσαι ἀνόσια ἔργα, ὥστε αὐτῷ καὶ τὰ τῆς
φύσεως ἀγαθὰ ἐπὶ λύμῃ τῶν ὑπηκόων ἀποκεκρίσθαι
20 ξυνέβαινε.

ιδ'. Πραγμάτων γὰρ ἦν ἀωρία πολλὴ καὶ τῶν εἰω-
θότων οὐδὲν ἔμεινεν, ὧνπέρ μοι ὀλίγων ἐπιμνησθέντι
σιωπῇ δοτέον τὰ λοιπὰ ξύμπαντα, ὡς μὴ ὁ λόγος ἀπέ-

1—6 ἀπόσιτος—ἐπηξίου] ὁ δὲ ἀπόσιτος ἡμέρας τε καὶ νύκτας δύο πολλάκις ἔμενε, καὶ ταῖς τοῦ Πάσχα ἡμέραις ἀπόσιτος ἦν, ὕδατι βραχεῖ ἀποζῶν Suid. s. v. ἀπόσιτος ‖ 5 cf. Proc. de aedif. I cap. 7, 8. Nov. 8, Praef. Nov. 30, cap. 11, 2 ‖ 17 I 355, 7. III 55, 4

6 ἠξίου S ‖ 7 ⟨τύχοι⟩ Alem.] om. codd. | καταδαρθὼν P S] κατάδραθὼν G ‖ 9 αὐτὸν] αὖ τὸν Piccolos, αὐτὸν τὸν Herw. ‖ 10 ἐκεχωρήκει G P] ἦρε S ‖ 17 διαφερόντως G P] καὶ διαφερόντως S ‖ 22 ὀλίγων superscr. ον S ‖ 23 τὰ λοιπὰ ξύμπαντα σιωπῇ δοτέον S | ξύμπαντα om. G

2 *ραντος εἴη. πρῶτα μὲν γὰρ οὐδὲν ἐς βασιλικὸν ἀξίω-*
□ *μα ἐπιτηδείως ἔχον οὔτε αὐτὸς εἶχεν οὔτε ξυμφυλάσ-*
σειν ἠξίου, ἀλλὰ τήν τε γλῶτταν καὶ τὸ σχῆμα καὶ τὴν
3 B 88 *διάνοιαν ἐβαρβάριζεν. ὅσα τε γράφεσθαι πρὸς αὐτοῦ*
βούλοιτο, οὐ τῷ τὴν κοιαίστωρος ἔχοντι τιμήν, ᾗπερ 5
□ *εἰώθει, ἐπέστελλε διοικεῖσθαι, ἀλλ' αὐτός τε τὰ πλεῖ-*
στα, καίπερ οὕτω τῆς γλώττης ἔχων, ἐκφέρειν ἠξίου
□ *καὶ τῶν παρατυχόντων πολὺς ὅμιλος, ὥστε τοὺς ἐν-*
4 *θένδε ἠδικημένους οὐκ ἔχειν ὅτῳ ἐπικαλοῖεν. τοῖς δὲ*
ἀσηκρῆτις καλουμένοις οὐκ ἀπεκέκριτο τὸ ἀξίωμα ἐς 10
τὸ τὰ βασιλέως ἀπόρρητα γράφειν, ἐφ' ᾧπερ τὸ ἀνέ-
καθεν ἐτετάχατο, ἀλλὰ τά ⟨τε⟩ ἄλλα ἔγραφεν αὐτὸς
ὡς εἰπεῖν ἅπαντα καὶ εἴ που διατάσσειν τοὺς διαι-
τῶντας ἐν πόλει δεήσειεν, ὅπη ποτὲ αὐτοῖς τὰ ἐς τὴν
5 *γνῶσιν ἰτέον εἴη. οὐ γὰρ εἴα τινὰ ἔν γε τῇ Ῥωμαίων* 15
ἀρχῇ γνώμῃ αὐτονόμῳ τὰς ψήφους διδόναι, ἀλλὰ αὐ-
θαδιζόμενος ἀλογίστῳ τινὶ παρρησίᾳ κρίσεις τε αὐτὸς
τὰς ἐσομένας ἐρρύθμιζεν ἀκοῆς λόγον πρός του τῶν
διαφερομένων λαβὼν καὶ ἀνάδικα εὐθὺς ἀβασανίστως
τὰ δεδικασμένα ἐποίει οὐ νόμῳ τινὶ ἢ δικαίῳ ἡγμένος, 20
6 *ἀλλ' ἀπαρακαλύπτως αἰσχροκερδείᾳ ἡσσώμενος. δωρο-*

19—21 *ἀνάδικα—ἡσσώμενος*] *ἀνάδικα τὰ δεδικασμένα ποιῶν αἰσχροκερδείας ἡσσώμενος* Suid. s. v. *ἀνάδικα*

---

6 *ἐπέστελλε διοικεῖσθαι* Kraš.] *ἐπέστελλεν οἴεσθαι* codd., *ἐπέστελλε προΐεσθαι* Reiske, *ἐπέστελλε γράφεσθαι* Alem. ‖ 8—9 *τοὺς—ἠδικημένους* Reiske] *τοῖς—ἠδικημένοις* codd. ‖ 9 *οὐκ ἔχειν*] *οὐκέτι εἶναι* Piccolos ‖ 10 *ἀσηκρήταις* *P* ‖ 11 *ᾧπερ* Reiske] *ὧνπερ* codd. ‖ 12 *τά ⟨τε⟩* Dind.] *τὰ* codd. | *ἔγραφεν αὐτὸς* Alem.] *ἔγραφον αὐτοὶ* codd. ‖ 14 *ὅπη* *P S*] *ὅποι* *G* ‖ 16—17 *αὐθαδιζόμενος* *P S*] *αὐθαδιαζόμενος* *G* ‖ 18 *ἐσομένας*] *ἐσαγομένας* Reiske | *ἐρύθμιζεν* *G* | *ἀκοῆς*] *ἀκοῇ* Reiske ‖ 19 *ἀβασανίστως* *P S*] om. *G* ‖ 20 *δεδικασμένα* Suid.] *δεδοκιμασμένα* codd., cf. cap. XXVII 30 ‖ 21 *αἰσχροκερδία* *S*

δοκῶν γὰρ ὁ βασιλεὺς οὐκ ᾐσχύνετο, πᾶσαν αὐτοῦ τὴν αἰδῶ τῆς ἀπληστίας ἀφελομένης.

7 Πολλάκις δὲ τά τε ⟨τῇ⟩ συγκλήτῳ βουλῇ καὶ τῷ αὐτοκράτορι δεδοκιμασμένα ἐς ἑτέραν τινὰ ἐτελεύτησε κρίσιν. 8 ἡ μὲν γὰρ βουλὴ ὥσπερ ἐν εἰκόνι ἐκάθητο, οὔτε τῆς ψήφου οὔτε τοῦ καλοῦ κυρία οὖσα, σχήματος δὲ μόνου καὶ νόμου ξυνειλεγμένη παλαιοῦ εἵνεκα, ἐπεὶ οὐδὲ φωνὴν ἀφεῖναί τινα ὁτῳοῦν τῶν ἐνταῦθα ξυνειλεγμένων τὸ παράπαν ἐξῆν, ἀλλ' ὅ τε βασιλεὺς καὶ ἡ σύνοικος ἐκ τοῦ ἐπὶ πλεῖστον διαλαγχάνειν μὲν ἀλλήλοιν τῶν διαφερομένων ἐσκήπτοντο, ἐνίκα δὲ τὰ ἐν σφίσιν αὐτοῖς ὑπὲρ τούτων ξυγκείμενα. 9 ἢν δέ τῳ δόξειεν οὐκ ἐν ἀσφαλεῖ εἶναι παρανενομηκότι νενικηκέναι, ὅδε καὶ ἄλλο τι χρυσίον τῷ βασιλεῖ τούτῳ προέμενος νόμον εὐθὺς διεπράττετο ἀπ' ἐναντίας ἁπάντων ἐλθόντα τῶν πρόσθεν κειμένων. 10 ἢν δὲ καί τις ἕτερος τοῦτον δὴ τὸν νόμον τὸν ἀπολωλότα ἐπιζητοίη, αὖθις αὐτὸν μετακαλεῖν τε καὶ ἀντικαθιστάναι αὐτοκράτωρ οὐδαμῇ ἀπηξίου, οὐδέν τε ἐν τῷ τῆς δυνάμεως βεβαίῳ εἱστήκει, ἀλλ' ἐπλανᾶτο περιφερομένη πανταχόσε ἡ τῆς δίκης ῥοπὴ ὅπη ἂν αὐτὴν βαρήσας ὁ πλείων χρυσὸς ἀνθέλκειν ἰσχύοι ἔκειτό τε ἐν τῷ δημοσίῳ τῆς ἀγορᾶς καὶ ταῦτα ἐκ Παλατίου καὶ προὐτίθετο οὐ δικαστικῆς μόνον, ἀλλὰ καὶ νομοθετικῆς πωλητήρια.

---

3 ⟨τῇ⟩ addidi ‖ 4 ἐς S] εἰς G, om. P ‖ 6 οὔτε—οὔτε Dind.] οὐδὲ—οὐδὲ codd. | καλοῦ] πάλου Reiske ‖ 7 ἕνεκα G ‖ 11 ⟨ὑπὲρ⟩ τῶν διαφερομένων Reiske | ἐσκήπτον ⟨το⟩ Reiske] ἔσκηπτον codd. ‖ 13 ἐν ἀσφαλεῖ P S] ἀσφαλεῖ G ‖ 17 τὸν 1 G P] om. S | ἐπιζητοῖ S ‖ 20—21 πανταχόσε περιφερομένη G ‖ 21 ὅπη G P] ὅποι S ‖ 23 καὶ ταῦτα ἐκ] πάντα τὰ ἐκ τοῦ Reiske ‖ 25 πωλητήρια Alem.] πολιτηρίας G S, πολιτείας P

11 Τοῖς δὲ ῥεφερενδαρίοις καλουμένοις οὐκέτι ἀπέχρη ἀνενεγκεῖν εἰς τὸν βασιλέα τὰς τῶν ἱκετευόντων δεήσεις, ἐς δὲ τὰς ἀρχὰς ἀναγγεῖλαι μόνον, ᾗπερ εἰώθει, ὅ τι ἂν αὐτῷ ἀμφὶ τῷ ἱκέτῃ δοκῇ, ἀλλὰ ξυμφορήσαντες ἐκ πάντων ἀνθρώπων τὸν ἄδικον λόγον, φενακισ- 5 μοῖς μὲν τὸν Ἰουστινιανὸν καὶ παραγωγαῖς τισιν ἐξη- □B 90 πάτων, τοῖς ταῦτα ἐπιτηδεύουσιν ὑποκείμενον φύσει. 12 ἔξω δὲ αὐτίκα γενόμενοι καὶ τῶν σφίσιν ὡμιληκότων τοὺς ἀντιδίκους καθείρξαντες χρήματα οὐδενὸς ἀμυνομένου ἀνεξελέγκτως ἐπράσσοντο ὅσα ἂν αὐτοῖς διαρκῆ 10 13 εἴη. καὶ στρατιῶται οἱ τὴν ἐν Παλατίῳ φρουρὰν ἔχοντες ἐν τῇ βασιλείῳ στοᾷ παρὰ τοὺς διαιτῶντας 14 γενόμενοι βιαίᾳ χειρὶ τὰς δίκας ἐσῆγον. πάντες τε ὡς εἰπεῖν τὴν αὑτῶν ἐκλιπόντες τάξιν ὁδοὺς τότε κατ' ἐξουσίαν ἐβάδιζον ἀπόρους τε καὶ ἀστιβήτους σφίσι τὰ 15 πρότερα οὔσας, καὶ τὰ πράγματα πλημμελῶς πάντα ἐφέρετο, οὐδὲ ὀνόματός τινος ἰδίου μεταλαχόντα, ἐῴκει 15 τε ἡ πολιτεία βασιλίδι παιζόντων παιδίων. ἀλλὰ τὰ μὲν ἄλλα μοι παριτέον, ὥσπερ τοῦδε ἀρχόμενος τοῦ □ λόγου ὑπεῖπον. λελέξεται δὲ ὅστις ἀνὴρ πρῶτος δικά- 20 ζοντα δωροδοκεῖν τὸν βασιλέα τοῦτον ἀνέπεισε.

16 Λέων ἦν τις, Κίλιξ μὲν γένος, ἐς δὲ φιλοχρηματίαν δαιμονίως ἐσπουδακώς. οὗτος ὁ Λέων κράτιστος

11 cf. Nov. 82 cap. 3

1 ῥεφερενδαρίοις Kraš.] ῥαιφερενδαρίοις codd. ‖ 3 ἐς δὲ τὰς ἀρχὰς] οὐδὲ τὴν ἀρχὴν Alem. | ἀναγγεῖλαι *PS*] ἀγγεῖλαι *G* ‖ 4 ἱκέτῃ Alem.] οἰκέτῃ codd. | δοκεῖ *P* ‖ 5—6 φαινακισμοῖς *S* ‖ 6—7 τισιν ἐξηπάτων *P*] τισιν ἐξηπάτουν *G*, ἐξηπάτουν τισί *S* ‖ 7 ὑποκείμενον Reiske] ἀποκείμενον codd. ‖ 10 ἀνεξελέγκτως *PS*] om. *G* ‖ 11 στρατιῶται Alem.] στασιῶται codd. ‖ 12 βασι^λ *G* | διαιτῶντα *G* ‖ 13 εἰσῆγον *S* ‖ 14 αὑτῶν Dind.] αὐτῶν codd. ‖ 16 πλημελῶς *G* ‖ 19 τὰ μὲν *PS*] τ' *G* ‖ 19 ὥσπερ *PS*] ὥσπερ δὲ *G* ‖ 20—21 δικάζο^τ *S*

ἐγένετο κολάκων ἁπάντων, καὶ οἷος ταῖς τῶν ἀμαθῶν □
διανοίαις ⟨τὸ⟩ δόξαν ὑποβαλέσθαι. πειθὼ γάρ οἵ τινα 17 □
ξυναιρομένην ἐς τοῦ τυράννου τὴν ἀβελτερίαν ἐπὶ
φθόρῳ τῶν ἀνθρώπων εἶχεν. οὗτος ἀνὴρ πρῶτος
5 Ἰουστινιανὸν ἀναπείθει ἀπεμπολεῖν χρημάτων τὰς δί-
κας. ἐπειδή τε κλέπτειν ὅδε ὁ ἀνὴρ τρόπῳ τῷ εἰρη- 18
μένῳ ἔγνω, οὐκέτι ἀνίει, ἀλλ' ὁδῷ προϊὸν τὸ κακὸν
τοῦτο ἐπὶ μέγα ἐχώρει, ὅστις τε δίκην λαχεῖν ἄδικον
τῶν τινι ἐπιεικῶν ἐν σπουδῇ εἶχεν, εὐθὺς παρὰ τὸν
10 Λέοντα ᾔει, καὶ μοῖραν τῶν ἀντιλεγομένων τινὰ ὁμολο-
γήσας τῷ τε τυράννῳ καὶ αὐτῷ κείσεσθαι, αὐτίκα
νενικηκώς, οὐ δέον, ἀπηλλάσσετο ἐκ τοῦ Παλατίου. P 44
καὶ Λέων μὲν χρήματα ἐνθένδε περιβαλέσθαι μεγάλα 19
κομιδῇ ἴσχυσε, χώρας τε πολλῆς κύριος γέγονε, Ῥω- B 91
15 μαίοις δὲ τὴν πολιτείαν αἰτιώτατος γέγονεν ἐς γόνυ
ἐλθεῖν. ἦν τε οὐδὲν τοῖς ξυμβεβηκόσιν ὀχύρωμα, οὐ 20
νόμος, οὐχ ὅρκος, οὐ γράμματα, οὐ ποινὴ ξυγκειμένη,
οὐκ ἄλλο τῶν πάντων οὐδέν, ὅτι μὴ Λέοντι καὶ βασι-
λεῖ χρήματα προέσθαι. οὐ μὴν οὐδὲ τοῦτο ἐν τῷ βε- 21
20 βαίῳ τῆς γνώμης τῆς τοῦ Λέοντος ἔμενεν, ἀλλὰ μισθ-
αρνεῖν καὶ πρὸς τῶν ἐναντίων ἠξίου. κλέπτων γὰρ 22
ἀεὶ ἐφ' ἑκάτερα τῶν ἐπ' αὐτῷ προστεθαρρηκότων ὀλι- □
γωρεῖν τε καὶ ἀπ' ἐναντίας ἰέναι οὐδαμῇ αἰσχύνην
ὑπώπτευεν εἶναι. οὐδὲν γὰρ αἰσχρὸν, εἰ μόνον τὸ 23

---

2 ⟨τὸ⟩ Reiske] om. codd. ‖ 3—4 ἐς τοῦ—εἶχεν] ἐπὶ φθόρῳ τῶν ἀνθρώπων εἶχεν ἐς τοῦ τυράννου τὴν ἀβελτηρίαν *S* (with transposition marks β α, β, α) ‖ 3 ἀβελτερίαν Kraš.] ἀβελτηρίαν codd. ‖ 4 οὗτος ⟨ὁ⟩ Dind. ‖ 5 ἀναπείθει *G P*] πείθει *S* ‖ 6—7 ἔγνω τρόπῳ τῷ εἰρημένῳ *S* ‖ 9 παρὰ *P S*] π (ε supra) *G* ‖ 15 εἰς *S* ‖ 18 πάντων *P S*] ἁπάντων *G* ‖ 22 ἐπ' om. *P* ‖ 23 οὐδαμῇ *G P*] οὐδεμίαν *S*

κερδαίνειν προσῇ, ἐδόξαζέν οἱ αὐτῷ ἐπαμφοτερίζοντι ἔσεσθαι.

ιε'. Ὁ μὲν οὖν Ἰουστινιανὸς τοιοῦτός τις ἦν. Θεοδώρα δὲ ἐν τῷ βεβαίῳ τῆς ἀπανθρωπίας ἐνδελεχέστατα 2 ἐπεπήγει τὴν γνώμην. ἄλλῳ μὲν γὰρ ἀναπεισθεῖσα ἢ 5 ἀναγκασθεῖσα εἰργάζετο οὐδὲν πώποτε, αὐτὴ δὲ τὰ δόξαντα ἐπετέλει αὐθαδιαζομένη δυνάμει τῇ πάσῃ, οὐδε- 3 νὸς ἐξαιτεῖσθαι τὸν παραπεπτωκότα τολμῶντος. οὐδὲ γὰρ χρόνου μῆκος, οὐ κολάσεως πλησμονή, οὐχ ἱκετείας τις μηχανή, οὐ θανάτου ἀπειλή, ὅτι δὴ ἐξ οὐρα- 10 νοῦ πεσεῖται τῷ παντὶ γένει ἐπίδοξος οὖσα, καταθέσθαι 4 αὐτήν τι τῆς ὀργῆς ἔπειθε. καὶ συλλήβδην Θεοδώραν τῷ προσκεκρουκότι καταλλαγεῖσαν οὐδείς ποτε εἶδεν □ οὐδὲ ἐξ ἀνθρώπων ἀφανισθέντι, ἀλλὰ τοῦ τετελευτηκότος ὁ παῖς διαδεξάμενος τὸ τῆς βασιλίδος ἔχθος 15 ὥσπερ ἄλλο τι τοῦ πατρὸς ἐς τριγένειαν παρέπεμπεν. 5 B 92 ὁ γὰρ θυμὸς αὐτῇ κινεῖσθαι μὲν εἰς ἀνθρώπων φθορὰν ἑτοιμότατος ἦν, ἐς δὲ τὸ λωφῆσαι ἀμήχανος.

6 Τὸ μέντοι σῶμα ἐθεράπευε μειζόνως μὲν ἢ κατὰ τὴν χρείαν, ἐλασσόνως δὲ ἢ κατὰ τὴν αὐτῆς ἐπιθυμίαν. 20 7 ταχύτατα μὲν γὰρ ἐς τὸ βαλανεῖον εἰσῄει, ὀψιαίτατα δὲ ἀπαλλαγεῖσα καὶ καταλουσαμένη, ἐς τὸ ἀκρατίζεσθαι

15—16 διαδεξάμενος—παρέπεμπεν] διαδεξάμενος ὥσπερ ἄλλο τι τοῦ πατρὸς ἐς τριγονίαν παρέπεμπε τὸ ἔχθος Suid. s. v. τριγονία ‖ 17—18 ὁ—ἀμήχανος] ἦν δὲ Ἰουστινιανὸς ἐς μὲν ἀνθρώπων φθορὰν ἑτοιμότατος, ἐς κτλ. Suid. s. v. λωφῆσαι

---

1 προσῇ om. erat in *S*, pr. m. adscriptum est in marg. | αὐτῷ delet Reiske ‖ 4 δὲ Maltr.] τε codd. ‖ 7 αὐθαδειαζομένη *G* corr., *PS*, αὐθαδιαζομένη *G* pr. m. ‖ 10 τις *PS*] om. *G* ‖ 14 οὐδὲ scripsi] ἢ codd., ἢ ζῶντι ἢ Reiske ‖ 15 βασιλίδος *G P*] βασιλείας *S* ‖ 16 τριγένειαν codd.] τριγονίαν Suid.

ἐνθένδε ἐχώρει. ἀκρατισαμένη δὲ ἡσυχίαν ἦγεν. ἀρι- 8
στῶσα μέντοι καὶ δεῖπνον αἱρουμένη ἐς πᾶσαν ἰδέαν
ἐδωδίμων τε καὶ ποτῶν ἤρχετο, ὕπνοι τε αὐτῆς ἀεὶ
μακρότατοι ἀντελαμβάνοντο, ἡμερινοὶ μὲν ἄχρι πρώ-
5 των νυκτῶν, νυκτερινοὶ δὲ ἄχρις ἡλίου ἀνίσχοντος.
εἰς πᾶσάν τε οὕτως ἀκρασίας ἐκπεπτωκυῖα τρίβον ἐς 9
τόσον ἡμέρας καιρὸν ἅπασαν διοικεῖσθαι ἠξίου τὴν
Ῥωμαίων ἀρχήν. καὶ ἤν τῳ ἐπιστείλειε πρᾶξίν τινα 10
ὁ βασιλεὺς οὐκ αὐτῆς γνώμῃ, ἐς τοῦτο τύχης περιει-
10 στήκει τούτῳ δὴ τῷ ἀνθρώπῳ τὰ πράγματα, ὥστε οὐ
πολλῷ ὕστερον τῆς τε τιμῆς παραλυθῆναι ξὺν ὕβρει
μεγάλῃ καὶ ἀπολωλέναι θανάτῳ αἰσχίστῳ.

Τῷ μὲν οὖν Ἰουστινιανῷ ἅπαντα πράσσειν ῥᾴδιον P 45 11
ἦν, οὐχ ὅσον τῷ τῆς διανοίας εὐκόλῳ, ἀλλ' ὅτι καὶ
15 ἄυπνος ἦν ἐπὶ πλεῖστον, ὥσπερ εἴρηται, καὶ εὐπρόσο-
δος πάντων μάλιστα. πολλὴ γὰρ ἀνθρώποις ἐξουσία 12 □
ἐγίνετο, καίτοι ἀδόξοις τε καὶ ἀφανέσι παντάπασιν
οὖσιν, οὐχ ὅτι ἐντυχεῖν τῷ τυράννῳ τούτῳ, ἀλλὰ καὶ
κοινολογεῖσθαι καὶ ἐξ ἀπορρήτων συγγίνεσθαι. παρὰ 13
20 δὲ τὴν βασιλίδα οὐδὲ τῶν ἀρχόντων τινὶ ὅτι μὴ χρό-
νῳ τε καὶ πόνῳ πολλῷ εἰσιτητὰ ἦν, ἀλλὰ προσήδρευον
μὲν ἐς ἀεὶ ἅπαντες ἀνδραποδώδη τινὰ προσεδρείαν ἐν
δωματίῳ στενῷ τε καὶ πνιγηρῷ τὸν ἅπαντα χρόνον. B 93

---

1 ἀκρατισαμένη—ἦγεν] ἡ δὲ Θεοδώρα ἀκρατισαμένη ἡσ. κτλ. Suid. s. v. ἀκρατίζω ‖ 3—5 ὕπνοι—ἀνίσχοντος] cit. Suid. s. v. ἀντελαμβάνοντο ‖ 6 εἰς—τρίβον] οὕτω τε ἐς πᾶσαν ἀκράσιον ἐκπεπτ. κτλ. Suid. s. v. ἀκρασία ‖ 16 cf. 88, 18. 89, 6

---

1 ἀκρατησαμένη *G* ‖ 2 μέντοι repetit *S* ‖ 6 ἐμπεπτωκυῖα *G P* ‖ 11 τῆς *P S*] ὥστε τῆς *G* | σὺν *G* ‖ 13 οὖν *S*] om. *G P* ‖ 15 ἦν *P S*] om. *G* ‖ 16 πολλὴ Alem.] πολλῷ codd. ‖ 19 ξυγγίνεσθαι *P* ‖ 21 πολλῷ καὶ πόνῳ *G* | προσήδρευον Alem.] προσέδρευον codd. ‖ 22 ἐς ἀεὶ *P S*] ἀεὶ *G*

κίνδυνος γὰρ ἀπολελεῖφθαι τῶν ἀρχόντων τινὶ ἀνύπ-
14 οιστος ἦν. ἵσταντο δὲ διηνεκὲς ἐπ' ἄκρων δακτύλων,
αὐτὸς καθυπέρτερον ἕκαστος τῶν πέλας διατεινόμενος
τὸ πρόσωπον ἔχειν, ὅπως αὐτὸν ἔνδοθεν ἐξιόντες εὐνοῦ-
15 χοι ὁρῷεν. ἐκαλοῦντο δὲ αὐτῶν τινες μόλις τε καὶ 5
ἡμέραις πολλαῖς ὕστερον, ἐσιόντες δὲ παρ' αὐτὴν ξὺν
δέει πολλῷ ὅτι τάχιστα ἀπηλλάσσοντο, προσκυνήσαντες
μόνον καὶ ταρσοῦ ἑκατέρου ποδὸς ἄκρῳ χείλει ἀψά-
16 μενοι. φθέγγεσθαι γὰρ ἢ αἰτεῖσθαί τι μὴ ἐκείνης
ἐγκελευομένης οὐδεμία παρρησία ἐγίνετο. ἐς δουλο- 10
πρέπειαν γὰρ ἡ πολιτεία ἦλθε, δουλοδιδάσκαλον αὐτὴν
17 ἔχουσα. οὕτω τε Ῥωμαίοις τὰ πράγματα διεφθείρετο
τοῦ μὲν τυράννου τῷ ἄγαν εὐήθει δοκοῦντι εἶναι,
18 Θεοδώρας δὲ τῷ χαλεπῷ καὶ λίαν δυσκόλῳ. ἐν μὲν
γὰρ τῷ εὐήθει τὸ ἀβέβαιον ἦν, ἐν δὲ τῷ δυσκόλῳ τὸ 15
ἄπρακτον.

19 Ἐν τοῖς μὲν οὖν τῆς τε γνώμης αὐτοῖς καὶ τῆς
διαίτης τὸ διαλλάσσον ἐφαίνετο, κοινὰ δὲ ἦν αὐτοῖς
ἥ τε φιλοχρηματία καὶ ἡ τῶν φόνων ἐπιθυμία καὶ τὸ
20 μηδενὶ ἀληθίζεσθαι. ἄμφω γὰρ ἐπιτηδείως ἐς τὰ μά- 20
λιστα ψεύδεσθαι εἶχον, καὶ ἤν μέν τις τῶν Θεοδώρᾳ
προσκεκρουκότων ἁμαρτάνειν λέγοιτό τι βραχύ τε καὶ
λόγου οὐδαμῇ ἄξιον, αἰτίας εὐθὺς ἀναπλάσσουσα τῷ
ἀνθρώπῳ οὐδὲν προσηκούσας, ἐς μέγα τι κακοῦ τὸ
21 πρᾶγμα ἦρεν. ἐγκλημάτων τε ἠκούετο πλῆθος καὶ 25
καταλύσεως πέρι τῶν καθεστώτων [ληΐζεσθαι] δικα-

2 ἵσταντο Alem.] ἵστατο G P, ὕστατο S | 14 δὲ S, P in marg.] τε G, P in contextu ‖ 17 τῆς 1 P S] ταῖς G ‖ 20 τὰ S] τὸ G P ‖ 21 εἶχον ψεύδεσθαι S ‖ 26—97, 1 τῶν καθεστώτων [ληΐζεσθαι] δικαστήριον ἦν scripsi] τῶν κατηκόων ληίζεσθαι δικαστήριον ἦν codd., ληΐζεσθαι delevit Alem.

στήριον ἦν, καὶ δικασταὶ ξυνελέγοντο πρὸς αὐτῆς
ἀγειρόμενοι, οἳ δὴ ἔμελλον διαμαχέσασθαι πρὸς ἀλλή-
λους, ὅστις ἂν αὐτῶν μᾶλλον τῶν ἄλλων ἀρέσκειν τῇ
ἐς τὴν γνῶσιν ἀπανθρωπίᾳ τῇ βασιλίδι τὸ βούλημα B 94
5 ἱκανὸς γένοιτο. οὕτω τε τοῦ παραπεπτωκότος τὴν μὲν 22
οὐσίαν αὐτίκα ἐς τὸ δημόσιον ἀνάγραπτον ἐποίει, πι-
κρότατα δὲ αὐτὸν αἰκισαμένη, καίπερ ἴσως εὐπατρίδην
τὸ ἀνέκαθεν ὄντα, ἢ φυγῇ ζημιοῦν ἢ θανάτῳ οὐδαμῇ
ἀπηξίου. ἢν δέ γε τῶν αὐτῇ ἐσπουδασμένων τινὶ ἐπὶ 23
10 φόνοις ἀδίκοις ἢ ἑτέρῳ τῳ τῶν μεγίστων ἀδικημάτων
ἁλῶναι ξυμβαίνῃ, διασύρουσα καὶ χλευάζουσα τὴν τῶν
κατηγόρων ὁρμὴν σιωπᾶν τὰ προσπεσόντα οὔτι ἐθε-
λουσίους ἠνάγκαζεν.

Ἀλλὰ καὶ τῶν πραγμάτων τὰ σπουδαιότατα εἰς 24
15 γελωτοποιίαν μεταβάλλειν, ὅταν αὐτῇ δοκῇ, ὥσπερ ἐν
σκηνῇ καὶ θεάτρῳ ἔργον πεποίηται. καί ποτε [ἦν] τις 25
τῶν πατρικίων γέρων τε καὶ χρόνον πολὺν ἐν ἀρχῇ
γεγονώς, οὗπερ ἐγὼ τὸ ὄνομα ἐξεπιστάμενος ὡς ἥκιστα
ἐπιμνήσομαι, ὡς μὴ ἀπέραντον τὴν ἐς αὐτὸν ὕβριν P 46
20 ποιήσωμαι, τῶν αὐτῇ ὑπηρετούντων τινὰ ὀφείλοντά οἱ
χρήματα μεγάλα εἰσπράξασθαι οὐχ οἷός τε ὢν ἐσῆλθε
παρ' αὐτήν, τόν τε συμβαλόντα αἰτιασόμενος καὶ δεη-

21—98, 1 ἐσῆλθε—δίκαια] ὁ δὲ ἦλθε παρὰ τὴν βασίλισσαν, τὸν συμβαλόντα κτλ. Suid. s. v. συμβαλόντα

---

3 ἀρέσκειν Alem.] ἀρέσκῃ codd. ‖ 4 εἰς S | ἀνθρωπίᾳ S | τῆς βασιλίδος Piccolos ‖ 5 οὕτω Reiske] τούτῳ codd. ‖ 6 τὸ PS] τὸν G ‖ 9 ἀσπουδασμένων S | τινὶ Reiske] τις codd. ‖ 10 φόνοις] φθόνοις S ‖ 12 ὁρμὴν codd.] ὀργὴν Reiske ‖ 12—13 ἐθελουσίως S ‖ 15 γελοτοποιίαν G ‖ 16 [ἦν] inclusit Alem. ‖ 20 ὑπηρετούντων GP] ὑπηρετοῦντα S ‖ 21 εἰσῆλθε S ‖ 22 συμβάλοντα S, συμβάλλοντα G | αἰτιασάμενος P ‖ 22—98, 1 δεηθησόμενος GP] δεησόμενος S, δεηθῆναι Suid.

26 θησόμενος αὐτῷ βοηθῆσαι τὰ δίκαια. ὅπερ ἡ Θεο-
δώρα προμαθοῦσα τοῖς εὐνούχοις ἐπέστελλεν, ἐπειδὰν
ὁ πατρίκιος πρὸς αὐτὴν ἵκοιτο, κυκλώσασθαι μὲν αὐ-
τὸν ἅπαντας, ἐπακούειν δὲ αὐτῇ φθεγγομένῃ, ὑπει-
27 ποῦσα ὅ τι αὐτοὺς ἀντιφθέγγεσθαι δεῖ. ἐπεὶ δὲ ὁ 5
πατρίκιος ἐς τὴν γυναικωνῖτιν ἦλθε, προσεκύνησε μὲν
ὥσπερ αὐτὴν προσκυνεῖν εἴθιστο, δεδακρυμένῳ δὲ ἐοι-
κὼς „ὦ δέσποινα", ἔφη, „χαλεπὸν πατρικίῳ ἀνδρὶ χρη-
28 „μάτων δεῖσθαι. ἃ γὰρ τοῖς ἄλλοις συγγνώμην τε καὶ
B 95 „ἔλεον φέρει, ταῦτα ἐς ὕβριν τῷδε ξυμβαίνει τῷ ἀξιώ- 10
29 „ματι ἀποκεκρίσθαι. ἄλλῳ μὲν γὰρ ὁτῳοῦν ἀπορου-
„μένῳ τὰ ἔσχατα πάρεστιν αὐτὸ τοῦτο εἰπόντι τοῖς
„χρήσταις ὄχλου τοῦ ἐνθένδε εὐθὺς ἀπηλλάχθαι, πα-
„τρίκιος δὲ ἀνὴρ οὐκ ἔχων ὅθεν ἂν ἐκτῖσαι τοῖς χρή-
„σταις τὰ ὀφλήματα ἱκανὸς εἴη μάλιστα μὲν τοῦτο ἂν 15
„εἰπεῖν αἰσχυνθείη, εἰπὼν δὲ οὐκ ἄν ποτε πείσαι ὡς
„οὐχ οἷόν τε ὂν τῷδε πενίαν τῷ τάγματι ξυνοικίζεσθαι.
30 „ἢν δέ γε καὶ πείσῃ, τὰ πάντων αὐτῷ αἴσχιστά τε καὶ
31 „ἀνιαρότατα πεπονθέναι ξυμβήσεται. οὐκοῦν, ὦ δέ-
„σποινα, εἰσί μοι χρῆσται, οἱ μὲν δανείσαντες τὰ σφέ- 20
32 „τερα αὐτῶν, οἱ δὲ παρ' ἐμοῦ δεδανεισμένοι. καὶ τοὺς
„μὲν δανείσαντας ἐνδελεχέστατα ἐγκειμένους οὐχ οἷός
„τέ εἰμι αἰδοῖ τοῦ ἀξιώματος ἀποκρούσασθαι, οἱ δέ γε
„ὀφείλοντες, οὐ γὰρ πατρίκιοι τυγχάνουσιν ὄντες, εἰς
33 „σκήψεις τινὰς ἀπανθρώπους χωροῦσιν. ἀντιβολῶ τοί- 25

1—2 ὅπερ—προμαθοῦσα Maltr.] ὤπερ—προμαχοῦσα codd. ‖ 6 εἰς S | γυναικωνίτιν GP | ἦλθε PS] om. G ‖ 10 εἰς S | τῶδε post συμβαίνει transponit P | συμβαίνει G P ‖ 11 ἀποκεκρίσθαι G P] ἀποκρίνεσθαι S ‖ 12 πάρεστιν P S] παρέστην G ‖ 14 ἔχων Alem.] ἔσχεν codd. | ἐκτίσαι codd. ‖ 16 πείσαι Dind.] πείσῃ codd. ‖ 17 τάγματι Reiske] πράγματι codd. ‖ 19 ἀνιαρότατα Dind.] ἀνια-ρώτατα codd.

„νυν καὶ ἱκετεύω καὶ δέομαι βοηθῆσαί τέ μοι τὰ δί-
„καια καὶ τῶν παρόντων ἀπαλλάξαι κακῶν.“ ὁ μὲν 34
ταῦτα εἶπεν. ἡ δὲ γυνὴ ἀπεκρίνατο ἐμμελῶς, „πατρίκιε
ὁ δεῖνα“, καὶ ὁ τῶν εὐνούχων χορὸς ὑπολαβὼν ἀντε-
5 φθέγξατο, „μεγάλην κήλην ἔχεις“. αὖθις δὲ τοῦ ἀνθρώ- 35
που ἱκετεύσαντός τε καὶ ῥῆσίν τινα ἐμφερῆ τοῖς ἔμ-
προσθεν εἰρημένοις εἰπόντος κατὰ ταὐτὰ πάλιν ἥ τε
γυνὴ ἀπεκρίνατο καὶ ὁ χορὸς ἀντεφθέγξατο, ἕως ἂν
ἀπειπὼν ὁ ταλαίπωρος προσεκύνησέ τε ἧπερ εἰώθει καὶ
10 ἀπιὼν οἴκαδε ᾤχετο. ἐν προαστείοις δὲ τοῖς ἐπιθαλατ- 36
τίοις τὸ πλεῖστον τοῦ ἔτους καὶ οὐχ ἥκιστα ἐν τῷ ἐπι-
καλουμένῳ Ἡρίῳ διατριβὴν εἶχε, καὶ ἀπ᾽ αὐτοῦ τῶν
ἑπομένων ὁ πολὺς ὅμιλος κακοπαθείᾳ πολλῇ εἴχετο.
τῶν τε ἀναγκαίων γὰρ ἐσπάνιζον καὶ θαλαττίοις ὡμί- 37 B 96
15 λουν κινδύνοις, ἄλλως τε καὶ χειμῶνος, ἂν οὕτω τύχῃ,
ἐπιπεσόντος, ἢ τοῦ κήτους ἐνταῦθά ποι ἐπισκήψαντος.
ἀλλ᾽ αὐτοὶ τὰ πάντων ἀνθρώπων κακὰ οὐδὲν πρᾶγμα 38
ᾤοντο εἶναι, ὅσον ἦν γε μόνον αὐτοῖς τρυφᾶν ἐξείη.
ὁποῖος δὲ ὁ Θεοδώρας πρὸς τοὺς προσκεκρουκότας 39
20 ἐφαίνετο ⟨τρόπος⟩, αὐτίκα δηλώσω, ὀλίγων δηλονότι
ἐπιμνησθείς, ὡς μὴ ἀτελεύτητα πονεῖν δόξαιμι.

---

12 Georg. Cod. de aed. *CP.* 117, 7. Müller *FHG* IV 385 ‖
16 cf. II 424, 9. Zonar. III 283, 3

4—5 *ὑπεφθέγξατο S* ‖ 7 *ταῦτα S* ‖ 8 *ἕως ἂν*] *ἕως οὗ* Piccolos frustra, *ἕως δὴ* Kraš., *ἂν* delendum puto ‖ 10 *ᾤχετο οἴκαδε G* ‖ 11—12 *ἐπικαλουμένω PS*] *καλουμένω G* ‖ 12 *Ἡρίῳ*] *ἠρίω P*, omissum erat in *G*, sec. m. suppletum est: *ἠρίῳ* ‖ 14 *γὰρ PS*] om. *G* ‖ 15 *τύχῃ*] *τύχοι G* pr. m. ‖ 17 *πάντων* ⟨*τῶν*⟩? ‖ 18 *ὅσον*] *ὅσον* delendum aut post *τρυφᾶν* inserendum: *ὅσον ἤθελον*. Reiske, *οὐδ᾽ ὅσον εἰπεῖν* Piccolos ‖ 20 ⟨*τρόπος*⟩, addidit Alem. post *Θεοδώρας*, om. codd., *κότος* Reiske ‖ 21 *δόξαιμεν S*, in margine adscriptum est: *μι*

P 47 ις'. Ἡνίκα Ἀμαλασοῦνθα τῆς ἐν Γότθοις ἀπαλλαξείουσα διατριβῆς μεταμπίσχεσθαί τε τὸν βίον ἔγνω, καὶ τὴν ἐπὶ τὸ Βυζάντιον διενοεῖτο πορεύεσθαι, ὥσπερ μοι ἐν τοῖς ἔμπροσθεν λόγοις ἐρρήθη, λογισαμένη ἡ
□ Θεοδώρα ὡς εὐπατρίδης τε ἡ γυνὴ καὶ βασιλὶς εἴη, 5 καὶ ἰδεῖν μὲν εὐπρεπὴς ἄγαν, ἐπινοεῖν δὲ ὅ τι ἂν βούλοιτο γοργὸς μάλιστα, ὕποπτον δὲ αὐτῆς ποιησαμένη τό τε μεγαλοπρεπὲς καὶ διαφερόντως ἀρρενωπὸν, ἅμα δὲ καὶ τὸ τοῦ ἀνδρὸς ἐλαφρὸν δείσασα, οὐκ ἐπὶ μικροῖς τὴν ζηλοτυπίαν ἐξήνεγκεν, ἀλλ' ἐνεδρεύειν τὴν 10
□ 2 γυναῖκα μέχρις ἐς θάνατον ἐν βουλῇ ἔσχεν. αὐτίκα τοίνυν ἀναπείθει τὸν ἄνδρα, Πέτρον μόνον αὐτὸν ἅτε
3 πρεσβεύσοντα ἐς Ἰταλίαν πέμψαι. ᾧ δὴ στελλομένῳ βασιλεὺς μὲν ἐπέστελλεν ἅπερ μοι ἐν τοῖς ἐγκαίροις δεδιήγηται λόγοις, ἵνα δή μοι τῶν πεπραγμένων ἐκ- 15 πύστους ποιεῖσθαι τὰς ἀληθείας δέει τῆς βασιλίδος
4 ἀδύνατα ἦν. αὐτὴ δὲ τοῦτο ἐπήγγελλε μόνον, ὅτι τάχιστα τὴν γυναῖκά ἐξ ἀνθρώπων ἀφανιεῖν, ἐπ' ἐλπίδος ὀχεῖσθαι μεγάλων ἀγαθῶν, ἢν τὰ ἐπηγγελμένα ποιοίη,
□ 5 B 97 καταστησαμένη τὸν ἄνθρωπον. καὶ ὃς ἐν Ἰταλίᾳ γενό- 20 μενος (οὐ γὰρ οἶδεν ἀνθρώπου φύσις ὀκνηρῶς ες ἄδικον φόνον ἰέναι, ἀρχῆς τινος ἴσως ἢ χρημάτων ἐν ἐλπίδι κειμένων μεγάλων) οὐκ οἶδα ἥντινα Θευδάτῳ παραίνεσιν ποιησάμενος διαχρήσασθαι τὴν Ἀμαλασοῦνθαν ἀνέπεισε. καὶ ἀπ' αὐτοῦ ἔς τε τὸ τοῦ μαγίστρου 25

4 cf. II 13, 26 || 14 cf. II 22, 18

1 Ἀμαλασοῦνθα Alem.] ἡ μαλασοῦνθα codd. | τῆς] τοῖς S || 4 ἐρρέθη G S || 9—10 μικροῖς G P] μικροῦ S || 16 δέει repetit S || 17 ἀδύνατος P || 17—18 τάχιστα] μάλιστα P || 19 ἢν G P] ἢν δὲ S, ἥν γε Kraš. | ποιοίη G] ποιοῖ P S || 20 καταστησαμένη] κατὰ γαστρὸς μένειν P || 21 οἶδεν G corr., P S] εἶδεν G pr. m. || 25 ἀπ' Alem.] ὑπ' codd. | μαγίστρου S] μαγιστράτου G P

ἀξίωμα ἦλθε καὶ ἐπὶ πλεῖστον δυνάμεώς τε καὶ μάλι-
στα πάντων ἔχθους.
Τὰ μὲν οὖν κατὰ τὴν Ἀμαλασοῦνθαν ἐς τοῦτο 6
ἐτελεύτα. ἦν δέ τις Ἰουστινιανῷ ἐπιστολογράφος, 7
5 Πρίσκος ὀνόματι, ἄγαν πονηρὸς μὲν καὶ Παφλαγὼν
καὶ πρέπων τῷ προστάτῃ τὸν τρόπον ἀρέσκειν, λίαν
δὲ πρὸς αὐτὸν εὐνοϊκῶς ἔχων καὶ πρὸς αὐτοῦ τυγχά-
νειν τῶν ὁμοίων οἰόμενος· διὸ δὴ καὶ χρημάτων με-
γάλων [ὢν] κύριος [ὑπῆρχεν] οὐκ ἐν δίκῃ τάχιστα
10 γέγονε. τοῦτον δὴ ἅτε ὀφρυάζοντά τε καὶ οἱ ἀντιτεί- 8
νειν πειρώμενον ἡ Θεοδώρα ἐς τὸν ἄνδρα διέβαλε.
καὶ τὰ μὲν πρῶτα οὐδὲν ἤνυσεν, οὐ πολλῷ δὲ ὕστε- 9
ρον αὐτὴ μὲν τὸν ἄνθρωπον χειμῶνος μέσου εἰς ναῦν
ἐμβιβάσασα ὅπῃ ἐβούλετο ἔπεμψε καὶ ἀποθρίξασα ἱερέα
15 οὔτι ἑκούσιον ἠνάγκασεν εἶναι. αὐτὸς δὲ δόκησιν παρε- 10
χόμενος ὅτι δὴ τῶν ποιουμένων οὐδὲν εἰδείη Πρίσκον
μὲν οὐ διηρευνᾶτο ὅπῃ γῆς εἴη οὐδὲ ἐν μνήμῃ τὸ
λοιπὸν εἶχεν, ἀλλὰ σιωπῇ ὥσπερ ληθάργῳ ἁλοὺς καθ-
ῆστο, τὰ μέντοι χρήματα ὀλίγων οἱ ἀπολελειμμένων
20 ἐληΐσατο πάντα. ὑποψίας δὲ συμπεσούσης αὐτῇ ⟨ἐρω- 11 P48
τολήπτῳ εἶναι⟩ εἰς τῶν οἰκετῶν ἕνα, Ἀρεόβινδον ὄνο-

5 Mal. 449, 12. Theoph. I 186, 15. Hermes VI 376 | Παφλαγὼν] cf. Byz. Z. 9 (1900) p. 674. Hammer I 176 s.

1 τε καὶ *PS*] τε om. *G* ‖ 2 ἔχθους scripsi] ἐχθρῶν codd., ἐχθροποιόν Piccolos, κατὰ πάντων καὶ μάλιστα τῶν ἐχθρῶν Reiske ‖ 6 πρέπων] σπεύδων Reiske | τῷ προστάτῃ Alem.] τοῦ προστάτου codd. ‖ 9 [ὢν] et [ὑπῆρχεν] inclusi] ὢν κύριος ὑπῆρχεν codd., μεγάλων κύριος, ἀπ' ἀρχῆς πενιχρὸς ὤν, οὐκ ἐν Reiske, ὢν ἄμοιρος ὑπῆρχε, κύριος Piccolos, cf. Hy 2, p. 34 ‖ 13 χειμῶνος μέσου *PS*] om. *G* ‖ 14 ἔπεμψεν *P* ‖ 15 οὔτι *GP*] ὅτι *S* ‖ 17 διηρευνᾶτο Dind.] διερευνᾶτο codd. | ὅπῃ *G*] ὅποι *P*, ὅπου *S* | οὐδὲ Dind.] οὔτε codd. ‖ 18 ὥσπερ *S*] ὥσπερ γὰρ *GP* ‖ 19 ὀλίγων] scribendum puto: ⟨καίπερ ξυγγενῶν οὐκ⟩ ὀλίγων ‖ 20—21 ⟨ἐρωτολήπτῳ εἶναι⟩ addidi] cf. Hy 2, p. 36

B 98 μα, βάρβαρον μὲν γένος, εὐπρεπῆ δὲ καὶ νεανίαν,
ὅνπερ ταμίαν αὐτὴ καταστησαμένη ἐτύγχανεν, ἀπολύ-
σασθαι βουλομένη τὸ ἔγκλημα, καίπερ, ὥς φασι, τοῦ
ἀνθρώπου δαιμονίως ἐρῶσα, ἐν μὲν τῷ παρόντι πικρό-
τατα αὐτὸν ἀπ' οὐδεμιᾶς αἰτίας αἰκίζεσθαι ἔγνω, τὸ 5
δὲ λοιπὸν οὐδέν τι ἀμφ' αὐτῷ ἔγνωμεν, οὐδέ τις αὐ-
12 τὸν ἄχρι νῦν εἶδεν. ἣν γάρ τι τῶν πρασσομένων
ἀποκρύπτεσθαι αὐτῇ βουλομένῃ εἴη, τοῦτο δὴ ἄρρη-
τόν τε καὶ ἀμνημόνευτον ἅπασιν ἔμεινε, καὶ οὔτε τῷ
ἐπισταμένῳ ἀγγεῖλαι τῶν τινι ἀναγκαίων ἔτι ἐξῆν οὔτε 10
τῷ μανθάνειν βουλομένῳ πυνθάνεσθαι, κἂν πάνυ τις
13 περίεργος ἦν. τοιοῦτο γὰρ δέος ἐξ οὗ γεγόνασιν ἄν-
θρωποι ἐκ τυράννων οὐδενὸς γέγονεν, ἐπεὶ οὐδὲ λα-
14 θεῖν τινα τῶν προσκεκρουκότων οἷόν τε ἦν. πλῆθος
γὰρ κατασκόπων αὐτῇ τὰ λεγόμενα καὶ πρασσόμενα ἔν 15
15 τε τῇ ἀγορᾷ καὶ ταῖς οἰκίαις ἐσήγγελλον. ἡνίκα τοίνυν
τοῦ παραπεπτωκότος τὴν κόλασιν ἐκφέρεσθαι οὐδαμῇ
16 ἤθελεν, ἐποίει τάδε. τὸν ἄνθρωπον μετακαλεσαμένη,
ἤν τις τῶν λογίμων ἐτύγχανεν ὤν, μόνη τε αὐτὴ τῶν
ὑπουργούντων τινὶ παραδοῦσα μόνῳ ἐπήγγελλεν εἰς 20
τὰς ἐσχατιὰς αὐτὸν μετακομίσαι τῆς Ῥωμαίων ἀρχῆς.
17 καὶ ὃς ἀωρὶ τῶν νυκτῶν κατακεκαλυμμένον αὐτὸν καὶ
δεθέντα εἰς τὴν ναῦν ἐμβιβάσας καὶ σὺν αὐτῷ γεγο-
νὼς, οὗ οἱ πρὸς τῆς γυναικὸς ἐπετέτακτο, ἐνταῦθα
παρεδίδου λαθραιότερον τῷ ἐς ταύτην τὴν ὑπουργίαν 25

2 ταμίαν G P] om. S ‖ 6 τι P S] τοι G ‖ 10 ἀγγεῖλαι G P] ἀναγγεῖλαι S | ἔτι S] om. G P ‖ 14 τινα τῶν προσκεκρουκότων scripsi] τι τὸν προσκεκρουκότα codd., τι τῶν προσκεκρουκότων Orelli | οἷόν G] οἷός P S ‖ 15 κατασκόπων αὐτῇ G P] αὐτῷ κατασκόπων S ‖ 19 ἤν G P] εἴ S | αὐτὴ G] αὐτὸν P S ‖ 20 ἐπήγγελεν S ‖ 22 ὃς G S] ὅσον P ‖ 23 τὴν S] om. G P | σὺν G P] ξὺν S ‖ 25 εἰς S

ἱκανῶς ἔχοντι, φυλάσσειν τε ὡς ἀσφαλέστατα ἐπιστεί-
λας τὸν ἄνθρωπον καὶ ἀπειπὼν μηδενὶ φράζειν, ἕως
ἂν ἢ τὸν ταλαίπωρον ἡ βασιλὶς οἰκτίζηται ἢ χρόνον
πολὺν τῇ ἐνταῦθα κακοπαθείᾳ δυσθανατήσας τε καὶ
5 καταμαρανθεὶς τελευτήσειεν, ἀπηλλάσσετο.

Καὶ Βασιανὸν δέ τινα Πράσινον, οὐκ ἀφανῆ νέον 18
ὄντα, αὐτῇ διαλοιδορησάμενον δι' ὀργῆς ἔσχε. διὸ δὴ B 99
ὁ Βασιανὸς (οὐ γὰρ ἀνήκοος ταύτης δὴ τῆς ὀργῆς
ἐγεγόνει) ἐς τοῦ ἀρχαγγέλου τὸν νεὼν φεύγει. ἡ δέ 19
10 οἱ ἐπέστησεν αὐτίκα τὴν τῷ δήμῳ ἐφεστῶσαν ἀρχήν,
οὐδὲν μὲν τῆς λοιδορίας ἐπικαλεῖν ἐπαγγείλασα, ὅτι
δὲ παιδεραστοίη ἐπενεγκοῦσα. καὶ ἡ μὲν ἀρχὴ ἐκ τοῦ 20
ἱεροῦ τὸν ἄνθρωπον ἀναστήσασα ᾐκίζετο ἀνυποίστῳ
τινὶ κολάσει, ὁ δὲ δῆμος ἅπας ἐπεὶ ἐν τοιαύταις συμ-
15 φοραῖς εἶδε σῶμα ἐλευθέριόν τε καὶ ἀνειμένῃ ἄνωθεν
διαίτῃ ἐντραφὲν, ἀπήλγησάν τε τὸ πάθος εὐθὺς καὶ
ξὺν οἰμωγῇ ἀνέκραγον. οὐράνιον ὅσον ἐξαιτούμενοι τὸν
νεανίαν. ἡ δὲ αὐτὸν ἔτι μᾶλλον κολάσασα καὶ τὸ 21
αἰδοῖον ἀποτεμομένη διέφθειρεν ἀνεξελέγκτως, καὶ τὴν
20 οὐσίαν ἐς τὸ δημόσιον ἀνεγράψατο. οὕτως ἡνίκα ὀρ- 22
γῴη τὸ γύναιον τοῦτο, οὔτε ἱερὸν ὀχυρὸν ἐγεγόνει
οὔτε νόμου του ἀπαγόρευσις οὔτε πόλεως ἀντιβόλησις

11—12 λοιδορίας—παιδεραστοίη] τὸν ἄνθρωπον λοιδορίας πέρι οὐδὲν ἐπικαλεῖν ἐπαγγείλασα, πλὴν ὅτι παιδεραστοίη Suid. s. v. ἐπικαλῶν ‖ 14—17 ὁ δὲ—ὅσον] ὁ δὲ δῆμος ἅπας ἀπήλγησαν τὸ πάθος κτλ. Suid. s. v. ἀπήλγησαν ‖ 17 ἀνέκραγον—ὅσον] οἱ δὲ ἀνέκραγον οὐράνιον ὅσον Suid. s. v. οὐράνιον γ' ὅσον

---

2 ἀπειπὼν scripsi] ἐπειπὼν codd. ‖ 3 οἰκτίζηται *G P*] οἰκτίσηται *S* ‖ 6 τινα *PS*] τι *G* ‖ 11 τῆς *PS*] τοι *G* ‖ 14 τινὶ scripsi] τῇ codd. | ἅπας *GP*] om. *S* ‖ 14—15 ξυμφοραῖς *G* ‖ 16 ἀπήλγησάν *PS*] ἀπήλγησέ *G* ‖ 17 σὺν *G* ‖ 19 ἀποτεμομένη Dind.] ἀποτεμουμένη codd. | ἀνεξελέγκτως *G*] ἀνεξέλεκτον *PS* ‖ 20 τὸ *S*] τὸν *GP* ‖ 21 γεγόνει *S* ‖ 22 οὔτε πόλεως ἀντιβόλησις *G P*] om. *S*

ἐξελέσθαι τὸν παραπεπτωκότα ἱκανὴ ἐφαίνετο οὖσα, οὔτε ἄλλο αὐτῇ ἀπήντα τῶν πάντων οὐδέν.

23 καὶ Διογένην δέ τινα οἷα Πράσινον ὄντα δι' ὀργῆς ἔχουσα, ἄνδρα ἀστεῖον καὶ ποθεινὸν ἅπασί τε καὶ αὐ- (P 49) τῷ τῷ βασιλεῖ, οὐδέν τι ἧσσον γάμων ἀνδρείων συκο- 5 (24) φαντεῖν ἐν σπουδῇ εἶχε. δύο γοῦν ἀναπείσασα τῶν αὐτοῦ οἰκετῶν κατηγόρους τε καὶ μάρτυρας τῷ κεκτη- (25) μένῳ ἐπέστησε. τοῦ δὲ οὐ κρύβδην ἐξεταζομένου καὶ λαθραιότατα, ἧπερ εἰώθει, ἀλλ' ἐν δημοσίῳ, δικαστῶν ᾑρημένων πολλῶν τε καὶ οὐκ ἀδόξων, διὰ τὴν Διογέ- 10 νους δόξαν, ἐπεὶ οὐκ ἐδόκουν ἀκριβολογουμένοις τοῖς (B 100) δικασταῖς οἱ τῶν οἰκετῶν λόγοι ἀξιόχρεῳ ἐς τὴν κρίσιν εἶναι, ἄλλως τε καὶ παιδαρίων ὄντων, Θεόδωρον τῶν Διογένει ἀναγκαίων τινὰ ἐν τοῖς εἰωθόσιν οἰκι- (26) δίοις καθεῖρξεν. ἐνταῦθα πολλαῖς μὲν θωπείαις, πολ- 15 λοῖς δὲ τὸν ἄνθρωπον αἰκισμοῖς περιῆλθεν. ἐπεί τέ οἱ οὐδὲν προὐχώρει, νευρὰν βοείαν ἐς τοῦ ἀνθρώπου τὴν κεφαλὴν ἀμφὶ τὰ ὦτα περιελίξαντας τὴν νευρὰν (27) στρέφειν τε καὶ σφίγγειν ἐκέλευε. καὶ τοὺς μέν οἱ ὀφθαλμοὺς Θεόδωρος ἐκπεπηδηκέναι τὴν οἰκείαν λι- 20 πόντας χώραν ὑπώπτευεν, οὐδὲν μέντοι τῶν οὐ γεγο- (28) νότων ἀναπλάσσειν ἔγνω. διὸ δὴ οἱ μὲν δικασταὶ ἅτε ἀμαρτυρήτου δίκης ⟨Διογένους⟩ ἀπέγνωσαν, ἡ δὲ πόλις ἑορτὴν ἀπ' αὐτοῦ πανδημεὶ ἦγεν.

---

2 πάντων *PS*] ἀπάντων *G* ‖ 5 τι *GP*] om. *S* ‖ 5—6 συκοφαντεῖν ἐν σπουδῇ *PS*] ἐν σπουδῇ συκοφαντεῖν *G* ‖ 6 εἶχε *PS*] ἔχουσα *G* ‖ 9 λαθραιότατα *S*] λαθραιοτάτη *GP* | ἧπερ Dind.] ἅπερ codd. ‖ 12 ἀξιόχρεοι *GS* ‖ 17 νευρὰν] νεβρὰν *G* ‖ 18 περιελίξαντας Alem.] περιελίξαντες codd. ‖ 19 οἱ *PS*] om. *G* ‖ 20 Θεόδωρος scripsi] θεοδώρα codd., cf. Hy 2, p. 37 s. ‖ 20—21 λιπόντας τὴν οἰκείαν *P* ‖ 22 ἀναπλάσσειν Kraš.] ἀπαλλάσσειν codd., ἀπαγγέλλειν Alem. ‖ 23 ⟨Διογένους⟩ addidi] om. codd., cf. Hy 2, p. 38

ιζ'. Ἀλλὰ τοῦτο μὲν τῇδε ἐχώρησεν. ἐρρήθη δὲ ἀρχομένῳ μοι τοῦδε τοῦ λόγου καὶ ὅσα Βελισάριόν τε καὶ Φώτιον καὶ Βούζην αὐτῇ ἐργασθείη. στασιῶται 2 δὲ Βένετοι δύο Κίλικες γένος Καλλινίκῳ τῷ Κιλικίας
5 Δευτέρας ἄρχοντι σὺν θορύβῳ πολλῷ ἐπιστάντες χειρῶν ἀδίκων ἐπ' αὐτὸν ἦρξαν, τόν τε αὐτοῦ ἱπποκόμον ἄγχιστά που ἑστῶτα καὶ ἀμύνειν τῷ κεκτημένῳ πειρώμενον ἔκτειναν, τοῦ τε ἄρχοντος καὶ τοῦ δήμου θεωμένου παντός. καὶ ὁ μὲν τοὺς στασιώτας ἄλλων τε 3
10 πολλῶν καὶ τοῦδε ἁλόντας τοῦ φόνου ἐν δίκῃ ἀνεῖλεν, ἡ δὲ μαθοῦσα καὶ ὅτι τοὺς Βενέτους προσποιεῖται ἐνδεικνυμένη, ἔτι αὐτὸν τὴν ἀρχὴν ἔχοντα ἐν τῷ τῶν □ φονέων τάφῳ ἀνεσκολόπισεν οὐδενὶ λόγῳ. βασιλεὺς 4 δὲ κλάειν τε καὶ ὀδύρεσθαι τὸν ἀπολωλότα σκηπτό-
15 μενος καθῆστο γρυλλίζων, πολλά τε τοῖς ἐς τὴν πρᾶξιν ὑπουργηκόσιν ἀνατεινάμενος οὐδὲν ἔδρασε, τὰ μέν- B 101 τοι χρήματα τοῦ τετελευτηκότος ληΐζεσθαι ὡς ἥκιστα ἀπηξίωσεν.

Ἀλλὰ καὶ ὑπὲρ ἁμαρτάδων τῶν ἐς τὸ σῶμα κολά- 5
20 σεις τῇ Θεοδώρᾳ ἐπινοεῖν ἐπιμελὲς ἦν. πόρνας ἀμέλει πλέον ἢ πεντακοσίας ἀγείρασα ἐν ἀγορᾷ μέσῃ ἐς τριώβολον, ὅσον ἀποζῆν μισθαρνούσας, ἔς τε τὴν ἀντιπέ- P 50 ρας ἤπειρον στείλασα ἐν τῷ καλουμένῳ ⟨Μετανοίᾳ⟩ □ μοναστηρίῳ καθεῖρξε τὸν βίον μεταμφιέσασθαι αναγ-

4 Euagr. IV 32. Niceph. Call. XVII 21 ‖ 20 de aedif. I 9, 2. Mal. 440, 16. Nov. 14. Ioannes de Niciu 518. Hammer II 307

1 ἐρρήθη P pr. m. corr.] ἐρρέθη G, P pr. m., S ‖ 11 καὶ ὅτι scripsi] ὅτι καὶ codd. ‖ 14—15 σκηπτόμενος G corr., PS] ἐνσκηπτόμενος G pr. m. ‖ 16 ἔδρασεν S ‖ 23 ⟨Μετανοίᾳ⟩ καλουμένῳ conicit Kraš.] καλουμένω codd., καλουμένῳ Μετανοίας Dind. ‖ 24 μεταμφιάσασθαι P, μεταμφιέσασθαι S

6 κάζουσα. ὧν δή τινες ἐρρίπτουν αὐτὰς ἀφ᾽ ὑψηλοῦ
□ νύκτωρ, ταύτῃ τε τῆς ἀκουσίου μεταβολῆς ἀπηλλάσσοντο.
7 Δύο δὲ κόραι ἐν Βυζαντίῳ ἀδελφαὶ ἤτην, οὐκ ἐκ
πατρός τε καὶ τριγονίας ὑπάτων μόνον, ἀλλ᾽ ἀνέκαθεν
αἵματος τοῦ πρώτου ἔν γε τῇ συγκλήτῳ βουλῇ γεγο- 5
8 νυῖαι. ταύταις ἤδη ἐς γάμον ἐλθούσαις ἀπολωλότων
τῶν ἀνδρῶν χήραις γεγονέναι ξυνέπεσεν. αὐτίκα δὲ
ἄνδρας ἡ Θεοδώρα δύο ἀγελαίους τε καὶ βδελυροὺς
□ ἀπολέξασα συνοικίζειν αὐταῖς ἐν σπουδῇ εἶχεν, ἐπικα-
9 λοῦσα μὴ σωφρόνως βιοῦν. ὅπερ ἵνα μὴ γένηται δεί- 10
σασαι, ἐς τὸ τῆς Σοφίας ἱερὸν φεύγουσιν, ἔς τε τὸν
θεῖον λουτρῶνα ἐλθοῦσαι τῆς ἐνταῦθα κολυμβήθρας
10 ἀπρὶξ εἴχοντο. ἀλλὰ τοσαύτην αὐταῖς ἀνάγκην τε καὶ
□ κακοπάθειαν προσετρίψατο ἡ βασίλισσα ὥστε αὐταῖς
ἀπαλλαξειούσαις τῶν ἐνθένδε κακῶν τὸν γάμον αὐτῶν 15
ἀνταλλάξασθαι ἐν σπουδῇ γέγονεν. οὕτως αὐτῇ ἄχραν-
11 τος οὐδεὶς ἢ ἄσυλος μεμένηκε χῶρος. αὗται μὲν οὖν
ἀνδράσι πτωχοῖς τε καὶ ἀπερριμμένοις πολλῷ ἀπὸ τῆς
σφετέρας ἀξίας ἀκούσιαι ξυνῳκίσθησαν, καίπερ εὐπα-
12 τριδῶν σφίσι παρόντων μνηστήρων. ἡ δὲ μήτηρ αὐ- 20
ταῖς χήρα καὶ αὐτὴ γεγονυῖα οὔτε ἀνοιμῶξαι οὔτε
13 B 102 ἀποκλαῦσαι τολμῶσα τὸ πάθος παρῆν τῇ ἐγγύῃ. ὕστε-
ρον δὲ ἀφοσιουμένη ἡ Θεοδώρα τὸ μίασμα, δημοσίαις
14 αὐτὰς παρηγορῆσαι ξυμφοραῖς ἔγνω. ἄρχοντα γὰρ
ἑκάτερον κατεστήσατο. καὶ ταῖς μὲν κόραις παραψυχὴ 25

1 αὐτὰς Alem.] αὐτοὺς G, αὐτοὺς PS ‖ 2 ταύτῃ S] ταύτης G P ‖ 3 ἀδελφὼ S in contextu, αἱ S in marg. | ἤτην G P] ἤστην S ‖ 7 τῶν Alem.] τε codd. | ἀνδρῶν Dind.] ἀνθρώπων codd. | χηρῶν S ‖ 9 συνοικίζειν scripsi] ξυνοικεῖν G, συνοικεῖν PS, cf. 34, 24 ‖ 14 προσετρέψατο G ‖ 15 αὐτῶν G P] αὐτὸν S ‖ 16 οὕτως αὐτῇ P] οὕτως αὐτὴ G, οὕτως αὐταῖς. οὕτως αὐτῇ S ‖ 17 αὗται] αὔται G ‖ 23 ἀφοσιουμένη scripsi] ἀποσειομένη codd., cf. II 248, 8, 607, 11 | ἡ GP] om. S ‖ 24 αὐτὰς PS] αὐταῖς G

οὐδ' ὥς γέγονε, πάθη δὲ ἀνήκεστα καὶ ἀνύποιστα τοῖς ὑπηκόοις σχεδόν τι ἅπασι πρὸς τῶν ἀνδρῶν τούτων ξυνηνέχθη παθεῖν, ἅπερ μοι ἐν τοῖς ὄπισθεν λόγοις λελέξεται. Θεοδώρᾳ γὰρ οὔτε ἀρχῆς οὔτε πολιτείας 15
5 ἀξίωσις οὔτε τι ἄλλο ἐπιμελὲς ἦν, εἰ τὸ βούλημα περανεῖται μόνον.

Ἐτύγχανε δὲ ὑπό του κυήσασα τῶν ἐραστῶν, ἡνίκα 16 ἔτι ἐπὶ σκηνῆς ἦν, τοῦ δὲ κακοῦ ὀψὲ τοῦ καιροῦ αἰσθομένη πάντα μὲν ⟨ἐς τὸ⟩ ἀμβλύσκειν, ὥσπερ εἰώθει,
10 ἐποίει, ἄωρον δὲ ἀποκτιννύναι τὸ βρέφος οὐδεμιᾷ μηχανῇ εἶχεν, ἐπεὶ οὐ πολλῷ ἀπελέλειπτο τοῦ ἀνθρωποειδὲς [γένος] γεγονέναι. διὸ δὴ ἐπεὶ οὐδὲν προὐχώρει, 17 τῆς πείρας ἀφεμένη τίκτειν ἠνάγκαστο. ὁρῶν δὲ αὐτὴν ὁ τοῦ τεχθέντος πατὴρ ἀπορουμένην τε καὶ ἀσχάλ-
15 λουσαν, ὅτι μήτηρ γενομένη τῷ σώματι ὁμοίως ἐργάζεσθαι οὐκέτι ἂν δυνατὴ εἴη, ἐπεὶ καὶ ἀληθῶς δὴ ὑπήσθετο ὡς διαχρήσεται τὸ παιδίον, ἀνείλετό τε καὶ Ἰωάννην ἐπονομάσας, ἐπεὶ ἄρσεν ἦν, ἐς τὴν Ἀραβίαν ἐς ἥνπερ ὥρμητο ἀπιὼν ᾤχετο. ἐπεὶ δὲ αὐτὸς μὲν 18
20 τελευτᾶν ἔμελλεν, Ἰωάννης δὲ ἤδη μειράκιον ἦν, τὸν πάντα λόγον αὐτῷ ἀμφὶ τῇ μητρὶ ὁ πατὴρ ἔφρασε. καὶ ὃς ἅπαντα ἐπὶ τῷ πατρὶ ἐξ ἀνθρώπων ἀφανισθέντι 19 τὰ νόμιμα ποιήσας, χρόνῳ τινὶ ὕστερον ἐς Βυζάντιον

3—4 ἅπερ—λελέξεται] nusquam haec narravit Procopius

2 τι S] τοῖς G, om. P ‖ 3 ὄπισθεν Braun] ἔμπροσθεν codd., cf. Hy 3, p. 171 ‖ 9 ⟨ἐς τὸ⟩ ἀμβλύσκειν, ὥσπερ Alem.] ὥσπερ ἀμβλύσκειν codd., οἷσπερ ἀμβλύσκειν Reiske ‖ 10 ἀποκτινῦναι S pr. m., ἀποκτεινῦναι S pr. m. corr. ‖ 11 τοῦ PS] τὸ G ‖ 12 γένος delevi] τέκος Piccolos, σκῆνος Reiske ‖ 14—15 ἀσχάλουσαν G ‖ 15 ὁμοίως G P] om. S ‖ 16 ἂν PS] om. G | ἀληθῶς Reiske] ἀληθῆ codd. ‖ 22 ὃς ἅπαντα a et Alem. in marg. codicis G] ὅσα πάντα GPS ‖ 22—23 ἐξ ἀνθρ. ἀφανισθέντι τὰ νόμιμα ποιήσας PS] τὰ νόμιμα ποιήσας ἐξ ἀνθρώπων ἀφανισθέντι G

ἦλθε καὶ τοῖς παρὰ τὴν μητέρα τὰς εἰσόδους ἀεὶ ποιου-
□ 20 μένοις τὸ πρᾶγμα ἀγγέλλει. οἱ δὲ οὐδὲν ἀπὸ τοῦ ἀν-
θρωπείου τρόπου αὐτὴν λογιεῖσθαι ὑποτοπήσαντες
□ P 51 B 103 ἐπαγγέλλουσι τῇ μητρὶ ὅτι δὴ αὐτῆς Ἰωάννης ὁ υἱὸς
21 ἥκοι. δείσασα δὲ ἡ γυνὴ μὴ ἐς τὸν ἄνδρα ἔκπυστος 5
ὁ λόγος γένηται, τὸν παῖδά οἱ ἐς ὄψιν ἐκέλευεν ἥκειν.
22 ἐπεί τε εἶδε παραγενόμενον, τῶν οἰκείων τινὶ ἐνεχεί-
□ 23 ρισεν, ᾧπερ ἀεὶ τὰ τοιαῦτα ἐπέχειν εἰώθει. καὶ τρό-
πῳ μὲν ὅτῳ ὁ ταλαίπωρος ἐξ ἀνθρώπων ἠφάνισται
οὐκ ἔχω εἰπεῖν, οὐδεὶς δὲ αὐτὸν ἄχρι δεῦρο ἰδεῖν οὐδὲ 10
ἀπογενομένης τῆς βασιλίδος ἔσχε.

24 Τότε καὶ ταῖς γυναιξὶ σχεδόν τι ἁπάσαις τὸν τρό-
□ πον διεφθάρθαι ξυνέβη. ἐξήμαρτον γὰρ ἐς τοὺς ἄν-
δρας ἐξουσίᾳ τῇ πάσῃ, οὐ φέροντος αὐταῖς κίνδυνόν
τινα ἢ βλάβην τοῦ ἔργου, ἐπεὶ καὶ ὅσαι μοιχείας ἁλοῖεν, 15
□ αὗται κακῶν ἀπαθεῖς ἔμενον, παρὰ δὲ τὴν βασιλίδα
αὐτίκα ἰοῦσαι ἀντίστροφοί τε γενόμεναι καὶ δίκην οὐ
γεγονότων ἐγκλημάτων ἀντιλαχοῦσαι τοὺς ἄνδρας ὑπῆ-
25 γον. περιῆν τε αὐτοῖς ἀνεξελέγκτοις οὖσι τὴν μὲν
προῖκα ἐν διπλασίῳ ἀποτιννύναι, μεμαστιγωμένοις δὲ 20
ἐκ τοῦ ἐπὶ πλεῖστον ἐς τὸ δεσμωτήριον ἀπαχθῆναι,
καὶ αὖ πάλιν τὰς μοιχευτρίας ἐπιδεῖν κεκομψευμένας
τε καὶ πρὸς τῶν μοιχῶν ἀδεέστερον λαγνευομένας.
τῶν δὲ μοιχῶν πολλοὶ ἀπ' αὐτοῦ τοῦ ἔργου καὶ τιμῆς
26 ἔτυχον. διόπερ οἱ πλεῖστοι τὸ λοιπὸν πάσχοντες πρὸς 25
τῶν γυναικῶν ἀνόσια ἔργα ἀσμενέστατα ἀμαστίγωτοι
σιωπῇ ἔμενον, τὴν παρρησίαν αὐταῖς τῷ μὴ πεφωρᾶ-
σθαι δοκεῖν ἐνδιδόντες.

---

2 ἄπο G ‖ 4 ἀπαγγέλλουσι PS ‖ 8 ἐπέχειν codd.] ἐπιστέλλειν edd. cum Alem., frustra, cf. I 349, 10 ‖ 16 αὗται codd.] αὐταὶ ⟨μὲν⟩ Reiske ‖ 27 πεφορᾶσθαι G

Αὕτη ἅπαντα πρυτανεύειν αὐτογνωμονοῦσα τὰ ἐν 27
τῇ πολιτείᾳ ἠξίου. τάς τε γὰρ ἀρχὰς καὶ ἱερωσύνας
ἐχειροτόνει, ἐκεῖνο μόνον διερευνωμένη καὶ φυλασσο-
μένη ἐνδελεχέστατα, μὴ καλὸς ἢ ἀγαθός τις ὁ τὸ ἀξίω- □
5 *μα μετιὼν εἴη, καὶ οὐχ οἷός τέ οἱ ἐσόμενος ἐς τὰ*
ἐπαγγελλόμενα ὑπουργήσειν. καὶ τοὺς γάμους ἅπαν- 28 □
τας τῇ θειᾳ ἐξουσίᾳ τινὶ διῳκεῖτο, τοῦ τε γαμεῖν πρότε- B 104 □ □
ρον οὐδεμίαν ἄνθρωποι ἐγγύην ἑκουσίαν πεποίηνται.
γυνὴ γὰρ ἑκάστῳ ἐξαπιναίως ἐγίνετο, οὐχ ὅτι δὴ [ἐς] 29 □ □
10 *αὐτὸν ἤρεσκεν, ὅπερ κἀν τοῖς βαρβάροις εἰώθει, ἀλλ'*
ὅτι βουλομένη τῇ Θεοδώρᾳ εἴη. ὅπερ αὖ καὶ ταῖς γα- 30
μουμέναις ἀνάπαλιν ξυνέβαινε πάσχειν. ἀνδράσι γὰρ
ξυνιέναι οὐδαμῇ ἐθελούσιαι ἠναγκάζοντο. πολλάκις δὲ 31
καὶ τὴν νύμφην ἐκ τῆς παστάδος ἀποβιβάσασα λόγῳ
15 *οὐδενὶ ἀνυμέναιον τὸν νυμφίον ἀφῆκε, τοῦτο μόνον*
ξὺν ἀκροχολίᾳ εἰποῦσα, ὅτι δὴ αὐτὴν ἀπαρέσκοι. ὅπερ 32
ἄλλους τε πολλοὺς ἔδρασε καὶ Λέοντα, ὅσπερ ῥεφερεν- □
δάριος ἦν τὴν τιμήν, καὶ Σατορνῖνον, τὸν Ἑρμογένους
τοῦ μαγίστρου γεγονότος [ἐπὶ μνηστῇ]. τούτῳ γὰρ τῷ □
20 *Σατορνίνῳ ἦν τις ἀνεψιαδῆ παρθένος μνηστή, ἐλευ-*
θέριος καὶ κοσμία, ἥνπερ οἱ Κύριλλος ὁ πατὴρ κατηγ-
γύησεν Ἑρμογένους τοῦ βίου ἤδη ἀπολυθέντος. πε- 33
πηγυίας τε αὐτοῖς τῆς παστάδος τὸν νυμφίον καθεῖρξεν,

---

2 *τῇ GP*] om. *S* ‖ 4 *ἢ ἀγαθὸς* codd.] *κἀγαθὸς* Reiske ‖ 5 *οἱ GP*] om. *S* ‖ 7 *τῇ θείᾳ ἐξουσίᾳ τινὶ* codd.] *ἅπαντας αὐτὴ ὀθνείᾳ τινὶ ἐξουσίᾳ* Reiske, *ἅπαντας τῇ οἰκείᾳ ἐξουσίᾳ εἰ* Alem., *τοῖς γάμοις ἅπαντα τὰ ἐπιτήδεια ἐξουσίᾳ* Piccolos, *ἀηθεῖ ἐξουσίᾳ τινὶ* Kraš. ‖ 7—8 *τοῦ τε γαμεῖν πρότερον* scripsi] *τότε γαμεῖν πρῶτον* codd., *τότε πρὸ τοῦ γαμεῖν* Alem., *τοῦ τε γαμεῖν τότε πρῶτον* Piccolos ‖ 9 *γὰρ PS*] om. *G* | *ἐς* delevit Alem. ‖ 12 *γὰρ PS*] om. *G* ‖ 16 *ἀκροχολίᾳ PS*] *ἀκροχειλίᾳ G* ‖ 17 *Λέοντα* scripsi] *λεόντιον* codd., cf. III 179, 2 ‖ 17—18 *ῥεφερενδάριος* Kraš.] *ῥαιφερενδάριος* codd. ‖ 19 [*ἐπὶ μνηστῇ*] inclusi ‖ 20 *ἀνεψιαδῆ* Alem.] *ἀνεψιὰ δὴ* codd.

□ ἔς τε τὴν ἑτέραν παστάδα ἤχθη, ἔγημέ τε κωκύων καὶ
□□ 34 οἰμώζων ὅσον τὴν Χρυσομαλλοῦς παῖδα. Χρυσομαλλὼ
δὲ αὕτη πάλαι μὲν ὀρχηστρὶς ἐγεγόνει καὶ αὖθις ἑταίρα,
□P 52 τότε δὲ ξὺν ἑτέρᾳ Χρυσομαλλοῖ καὶ Ἰνδαροῖ ἐν Παλα-
35 τίῳ τὴν δίαιταν εἶχεν. ἀντὶ γὰρ τοῦ φαλλοῦ καὶ τῆς 5
□ ἐν θεάτρῳ διατριβῆς τῇ⟨δε⟩ διῳκοῦντο τὰ πράγματα.
36 ξυγκαταδαρθὼν δὲ ὁ Σατορνῖνος τῇ νύμφῃ καὶ διαπε-
παρθενευμένην εὑρὼν ἔς τινα τῶν ἐπιτηδείων ἐξήνεγ-
37 κεν ὅτι δὴ οὐκ ἄτρητον γήμαι. ὅπερ ἐπεὶ ἐς Θεοδώ-
B 105 ραν ἦλθε, τοὺς ὑπηρέτας ἐκέλευεν ἅτε ἀποσεμνυνόμενόν 10
τε καὶ ὀγκωθέντα οὐδὲν αὐτῷ προσῆκον, μετέωρον
αἴρειν, οἷα τὰ ἐς γραμματιστοῦ φοιτῶντα παιδία, ξαί-
νουσά τε κατὰ τῶν νώτων πολλὰς ἀπεῖπεν αὐτῷ μὴ
φλυάρῳ εἶναι.

38 Οἷα μέντοι καὶ Ἰωάννην τὸν Καππαδόκην εἰργά- 15
σατο ἐν τοῖς ἔμπροσθεν λόγοις ἐρρήθη. ἅπερ αὐτῇ
διαπέπρακται τῷ ἀνθρώπῳ χαλεπαινούσῃ, οὐχ ὑπὲρ
ὧν ἐς τὴν πολιτείαν ἡμάρτανε (τεκμήριον δέ· τῶν γὰρ
ὕστερον δεινότερα ἐς τοὺς ὑπηκόους ἐργασαμένων οὐ-
δένα τοῦτο πεποίηται), ἀλλ' ὅτι τά τε ἄλλα τῇ γυναικὶ 20
καταντικρὺ ἐτόλμα ἰέναι καὶ αὐτὴν ἐς τὸν βασιλέα
διέβαλλεν, ὥστε αὐτῇ καὶ τὸν ἄνδρα ἐκπεπολεμῶσθαι
39 παρ' ὀλίγον ἐλθεῖν. τῶν γὰρ αἰτιῶν, ὅπερ ὑπεῖπον,

---

16 cf. I 136, 13. III 15, 14

---

1 ἔς τε codd.] ὃς ἐς Alem., ⟨ὃς⟩ ἔς τε Kraš. ‖ 2 ὅσον codd.] ⟨μέγιστον⟩ ὅσον Reiske, ⟨ἀμήχανον⟩ ὅσον Kraš., malim [ὅσον] | Χρυσομαλλοῦς] cf. Suid. s. v. Χρυσομαλλώ ‖ 3 ἑταίρα] ἑτέρα G, S pr. m. ‖ 4 ἑτέρᾳ] ἑταίρα G ‖ 5 τὴν S] om. GP | φάλλου codd. ‖ 6 τῇ⟨δε⟩ a et Alem.] τῇ GPS ‖ 7 ξυγκαταδραθὼν G, P superscr. δαρ. ‖ 9 γήμαι Dind.] γήμοι codd. ‖ 11 τε PS] om. G | ὀγκω-θέντα Piccolos] ὀρκωθέντα codd. ‖ 13 τῶν νώτων GP] τῶν ὤμων S | ἀπεῖπεν codd.] ἐπεῖπεν Alem. ‖ 19 δεινότατα S ‖ 19—20 οὐδένα Maltr.] οὐδὲν codd. ‖ 20 τῇ Reiske] τά τε codd. ‖ 22 διέβαλεν P

ἐνταῦθά μοι μάλιστα τὰς ἀληθεστάτας ἀναγκαῖον
εἰπεῖν. ἡνίκα τε αὐτὸν ἐπ' Αἰγύπτου καθεῖρξε πε- 40
πονθότα ὅσα μοι ἀμφ' αὐτῷ προδεδήλωται, οὐδ' ὥς
τινα ἔλαβε τῆς τοῦ ἀνθρώπου κολάσεως κόρον, ἀλλὰ
5 ψευδομάρτυρας ἐπ' ἐκείνῳ διερευνωμένη οὐδέποτε ἀνίει.
τέτρασι δὲ ἐνιαυτοῖς ὕστερον Πρασίνους εὑρέσθαι δύο 41
τῶν ἐν Κυζίκῳ στασιωτῶν ἴσχυσεν, οἵπερ τῶν τῷ ἐπι-
σκόπῳ ἐπαναστάντων ἐλέγοντο εἶναι. καὶ αὐτοὺς θω- 42
πείαις τε καὶ λόγοις καὶ ἀπειλαῖς ⟨περιῆλθεν, ὥστε □□
10 ἅτερος μὲν⟩ κατορρωδήσας καὶ ταῖς ἐλπίσιν ἐπαρθεὶς
τὸ μίασμα τοῦ φόνου ἐς τὸν Ἰωάννην ἀνήνεγκεν. ὁ 43
δὲ δὴ ἕτερος τῆς ἀληθείας ἀπ' ἐναντίας ἐλθεῖν οὐδαμῆ
ἔγνω, καίπερ οὕτως ἐκ τῆς βασάνου καταταθείς, ὥστε
ὅτι δὴ καὶ τεθνήξεται αὐτίκα μάλα ἐπίδοξος ἦν. διὸ 44
15 δὴ τὸν μὲν Ἰωάννην τούτῳ δὴ τῷ παραπετάσματι
διαχρήσασθαι οὐδεμιᾷ μηχανῇ ἔσχε, τοῖν δὲ νεανίαιν B 106
τούτοιν χεῖρας τὰς δεξιὰς ἔτεμε, τοῦ μὲν ὅτι ψευδο- □
μαρτυρεῖν οὐδαμῇ ἤθελε, τοῦ δὲ ὅπως μὴ ἐπιφανὴς
ἡ ἐπιβουλὴ ἐς τὸ πᾶν γένηται. τούτων δὲ οὕτως ἐν 45
20 τῷ δημοσίῳ πρασσομένων τῆς ἀγορᾶς, ⟨Ἰουστινιανὸς⟩
ἐποιεῖτο τῶν πρασσομένων μηδενὸς τὸ παράπαν ξυνεῖναι.

ιη'. Ὅτι δὲ οὐκ ἄνθρωπος, ἀλλὰ δαίμων τις, ὥσπερ P 53□

---

6 Mal. 483, 17 ‖ 22 cf. 79, 18 ‖ 22—112, 4 Ὅτι—γίνεται] ὅτι δὲ δαίμων ἦν ἀνθρωπόμορφος ἡ Θεοδώρα, τεκμηριώσαιτο κτλ. Suid. s. v. τεκμήριον

---

5 ἀνίει Dind.] ἀνίῃ codd. ‖ 8—9 Fortasse scribendum: θωπείαις τε [καὶ] λόγων καὶ ἀπειλαῖς, quod saepe invenitur in Platonis libris ‖ 9—10 ⟨περιῆλθεν ὥστε ἅτερος μὲν⟩ addidi] om. codd., lacunam indicavit Alem., cf. 104, 16 ‖ 13 οὕτως *G P*] om. *S* ‖ 17 ἔτεμε] ἀπέτεμε Herw., frustra, cf. Nov. 134. cap. 13 ‖ 19 πᾶν *G P*] om. *S* ‖ 20 ⟨Ἰουστινιανὸς⟩ addidi] om. codd. ‖ 21 ἐποιεῖτο] σπουδὴν ἐποιεῖτο Alem., ἀπείρητο Piccolos, utrumque frustra | μηδενὸς codd.] μηδένα Alem., Dind., Isamb., Kraš.

εἴρηται, ἀνθρωπόμορφος ἦν, τεκμηριώσαιτο ἄν τις τῷ
μεγέθει σταθμώμενος ὧν εἰς τοὺς ἀνθρώπους κακῶν
2 ἔδρασεν. ἐν γὰρ τῷ ὑπερβάλλοντι τῶν πεπραγμένων
3 καὶ ἡ τοῦ δεδρακότος δύναμις ἔνδηλος γίνεται. τὸ
μὲν οὖν μέτρον ἐς τὸ ἀκριβὲς φράσαι τῶν ὑπ' αὐτοῦ 5
ἀνῃρημένων οὐκ ἄν ποτε, μοὶ δοκεῖ, τῶν πάντων τινὶ
4 ἢ τῷ θεῷ δυνατὰ εἴη. θᾶσσον γὰρ ἄν τις, οἶμαι, τὴν
πᾶσαν ψάμμον ἐξαριθμήσειεν ἢ ὅσους ὁ βασιλεὺς
οὗτος ἀνῄρηκε. τὴν δὲ χώραν ἐπὶ πλεῖστον διαριθμού-
μενος, ἥνπερ ἔρημον τῶν ἐνοικούντων ξυμπέπτωκεν 10
εἶναι, μυριάδας μυριάδων μυρίας φημὶ ἀπολωλέναι.
5 Λιβύη μὲν γὰρ ἐς τοσοῦτον διήκουσα μέτρον οὕτως
ἀπόλωλεν ὥστε ὁδὸν ἰόντι πολλὴν ἀνδρὶ ἐντυχεῖν
6 χαλεπόν τε καὶ λόγου ἄξιον εἶναι. καίτοι Βανδίλων
μὲν τῶν ὅπλα ἀρχὴν αἱρομένων ἐνταῦθα μυριάδες 15
ὀκτὼ ἐτύγχανον οὖσαι, γυναίων δὲ καὶ παιδαρίων καὶ
7 θεραπόντων αὐτῶν τίς ἂν εἰκάσειε μέτρον; Λιβύων
δὲ τῶν ἐν ταῖς πόλεσιν ᾠκημένων τὰ πρότερα καὶ
γῆν γεωργούντων ἐργασίαν τε τὴν κατὰ θάλασσαν
B 107 ἐργαζομένων, ὅπερ μοι αὐτόπτῃ ἐπὶ πλεῖστον γεγονέναι 20
τετύχηκε, πῶς ἄν τις τὸ πλῆθος διαριθμεῖσθαι ἱκανὸς
εἴη τῶν πάντων ἀνθρώπων; τούτων δὲ πολλῷ ἔτι

7—11 θᾶσσον—ἀπολωλέναι] cit. Suid. s. v. θᾶσσον, non-
nullis verbis omissis

2 ἐς Suid. || 5 φράσαι S] om. GP || 6 δοκεῖ Dind.] δοκῇ codd. || 7 ἢ] εἰ μὴ Reiske | εἴη] εἶναι edd. cum Alem., frustra | ἂν Suid.] om. codd. || 8 ὅσους] ὅσον P || 10 ξυμπέπτωκεν GP] ξυνέπεσεν S || 11 ἀπολωλέναι Suid.] ἀπολωλεκέναι codd. || 12 Λιβύη διήκουσα scripsi] Λιβύην—διήκουσαν codd. | οὕτω GP || 13 ἀπολώλεκεν Reiske || 14 βανδίλλων GP || 15 ἀρχὴν αἱρομένων scripsi] ἀργυριουμένων codd., ἀναιρομένων Alem., ἄρτι αἱρομένων Piccolos || 17 τίς ἂν Reiske] τίσιν GP, τίσιν αὐτῶν S | λυβίων G || 20 ὅπερ] ὧνπερ Kraš. || 21—22 τῶν πάντων ἀνθρ. ἱκανὸς εἴη G

πλείους Μαυρούσιοι ἦσαν ἐνταῦθα, οἷς δὴ ἅπασι ξύν τε γυναιξὶ καὶ γόνῳ διεφθάρθαι ξυνέβη. πολλοὺς δὲ αὖ [τῇ] καὶ Ῥωμαίων στρατιωτῶν καὶ τῶν αὐτοῖς ἐκ Βυζαντίου ἐπισπομένων ἡ γῆ ἔκρυψεν. ὥστε εἴ τις μυριάδας ἀνθρώπων ἔν γε Λιβύῃ πεντακοσίας ἰσχυρίζεται ἀπολωλέναι, οὐκ ἄν ποτε τῷ πράγματι, οἶμαι, διαρκῶς εἴποι. αἴτιον δὲ ὅτι Βανδίλων εὐθὺς ἡσσημένων οὐχ ὅπως κρατύνηται τὴν τῆς χώρας ἐπικράτησιν ἐπιμελές οἱ ἐγίνετο, οὐδ' ὅπως οἱ ἡ τῶν ἀγαθῶν φυλακὴ ἐν τῷ ἀσφαλεῖ εὐνοίᾳ τῶν κατηκόων εἴη προὐνόησεν, ἀλλὰ Βελισάριον αὐτίκα μελλήσει οὐδεμιᾷ μετεπέμπετο, τυραννίδα οἱ οὐδαμόθεν προσήκουσαν ἐπεγκαλέσας, ὅπως τὸ ἐνθένδε διοικούμενος κατ' ἐξουσίαν Λιβύην καταπιὼν ὅλην ληΐζηται.

Τιμητὰς ἀμέλει τῆς γῆς εὐθὺς ἔπεμπε καὶ φόρους ἐπετίθει πικροτάτους τινὰς οὐ πρότερον ὄντας. καὶ τῶν χωρίων προσεποιεῖτο, εἴ τι ἄριστον ἦν, καὶ Ἀρειανοὺς τῶν ἐν σφίσιν αὐτοῖς μυστηρίων εἶργε. καὶ ταῖς στρατιωτικαῖς συντάξεσιν ὑπερήμερος ἦν, καὶ ἄλλως τοῖς στρατιώταις ἐγεγόνει βαρύς. ἐξ ὧν αἱ στάσεις φυόμεναι τετελευτήκασιν εἰς ὄλεθρον μέγαν. οὐ γὰρ μένειν ἐν τοῖς καθεστῶσί ποτε ἴσχυεν, ἀλλὰ ξυγχεῖν τε καὶ ἀναθολοῦν ἐπεφύκει πάντα.

Ἰταλία δὲ οὐχ ἧσσον ἢ τριπλασία Λιβύης οὖσα ἔρημος ἀνθρώπων πολλῷ μᾶλλον ἔτι ἢ ἐκείνη παν-

12 cf. I 452, 6

3 *αὖ* Reiske] *αὐτὴ* codd., *αὐτοῦ* Alem. ‖ 3—4 *ἐκ βυζαντίω S* ‖ 4 *ἐπισπωμένων PS* | *ἡ γῆ GP*] *ἐν γῆ S* ‖ 5 *γε S*] *τε GP* ‖ 8 *κρατύνηται* Kraš.] *κρατύνεται* codd. ‖ 9 *ἐγένετο P* ‖ 11 *μελλήσει PS*] *μελύσαι G* ‖ 15 *εὐθὺς PS*] om. *G* ‖ 18—19 *καὶ—συντάξεσιν* scripsi] *κἀν—δυνάμεσιν* codd., cf. 137, 21. 148, 21 ‖ 19 *ὑπερήμερος* Alem.] *ὑπερήμενος* codd. | 25 *ἔτι ἢ* scripsi] *ἢ ἔτι* codd.

ταχόθι γεγένηται. ὥστε δὴ μέτρου τῶν κἀνταῦθα
14 B 108 ἀνῃρημένων ἐγγύθεν ἡ δήλωσις ἔσται. ⟨ἡ⟩ γὰρ αἰτία
τῶν ἐν Ἰταλίᾳ ξυμπεπτωκότων ἤδη μοι ἔμπροσθεν
δεδιήγηται. ἅπαντά τε γὰρ ὅσα ἐν Λιβύῃ, κἀνταῦθα
15 αὐτῷ ἡμαρτήθη. καὶ τοὺς καλουμένους λογοθέτας 5
προσεπιπέμψας ἀνεχαίτισέ τε καὶ διέφθειρεν εὐθὺς
16 ἅπαντα. κατέτεινε δὲ ἡ Γότθων ἀρχὴ πρὸ τοῦδε τοῦ
πολέμου ἐκ Γάλλων τῆς γῆς ἄχρι τῶν Δακίας ὁρίων,
17 οὗ δὴ πόλις τὸ Σίρμιόν ἐστι. Γαλλίας μὲν οὖν καὶ
Βενετίων γῆν τὴν πολλὴν Γερμανοὶ ἔσχον, ἐπειδὴ 10
18 ἀφίκετο ἐς Ἰταλίαν ὁ Ῥωμαίων στρατός. Σίρμιον δὲ
καὶ τὰ ἐκείνῃ χωρία Γήπαιδες κατέχουσιν, ἅπαντα
μέντοι συλλήβδην εἰπεῖν ἀνθρώπων παντελῶς ἔρημα.
19 τοὺς μὲν γὰρ ὁ πόλεμος, τοὺς δὲ νόσος τε καὶ λιμὸς
20 διεχρήσαντο, ἃ δὴ τῷ πολέμῳ ἕπεσθαι πέφυκεν. Ἰλ- 15
λυριοὺς δὲ καὶ Θρᾴκην ὅλην, εἴη δ' ἂν ἐκ κόλπου
τοῦ Ἰονίου μέχρι ἐς τὰ Βυζαντίων προάστεια, ἐν τοῖς
Ἑλλάς τε καὶ Χερρονησιωτῶν ἡ χώρα ἐστὶν, Οὖννοί
τε καὶ Σκλαβηνοὶ καὶ Ἄνται σχεδόν τι ἀνὰ πᾶν κατα-
θέοντες ἔτος, ἐξ οὗ Ἰουστινιανὸς παρέλαβε τὴν Ῥω- 20
μαίων ἀρχὴν, ἀνήκεστα ἔργα εἰργάσαντο τοὺς ταύτῃ
21 ἀνθρώπους. πλέον γὰρ ἐν ἑκάστῃ ἐσβολῇ οἶμαι ἢ
κατὰ μυριάδας εἴκοσιν εἶναι τῶν τε ἀνῃρημένων καὶ
ἠνδραποδισμένων ἐνταῦθα Ῥωμαίων, ⟨ὥστε⟩ τὴν Σκυ-

3 cf. II 301 ss.

2 ἐγγύθεν *PS*] om. *G* | ⟨ἡ⟩ addidit Alem. ‖ 4 ἅπαντά τε] τε delevit Reiske ‖ 8 ἄχρι *GP*] μέχρι *S* ‖ 9 γαλίας *G* ‖ 11 εἰς *P* ‖ 12 χωρία] παιδία superscr. χωρία *G* ‖ 17 μέχρις ἐς *S* ‖ 18 Χερρονησιωτῶν Kraš.] χερρόνησος τῶν codd., Χερρονησιτῶν Alem. ‖ 22 ἐσβολῇ Maltr.] ἐκβολῇ codd., ἐμβολῇ Alem. ‖ 24 ⟨ὥστε⟩ addidit Reiske

θῶν ἐρημίαν ἀμέλει ταύτης πανταχόσε τῆς γῆς ξυμ- □
βαίνειν ⟨εἶναι⟩.

Τὰ μὲν οὖν ἐν Λιβύῃ τε καὶ Εὐρώπῃ κατὰ τὸν 22
πόλεμον ξυνενεχθέντα τοιαῦτά ἐστι. Σαρακηνοὶ δὲ
5 τοὺς ἑῴους Ῥωμαίους ἐκ τῆς Αἰγύπτου μέχρι τῶν
Περσίδος ὁρίων πάντα τοῦτον τὸν χρόνον διηνεκῶς B 109
καταθέοντες οὕτω δὴ ἐνδελεχέστατα κατειργάσαντο,
ὥστε ὀλιγανθρωπότατα ξύμπαντα ἐγεγόνει τὰ ἐκείνῃ
χωρία, καὶ οὐ μήποτε ἀνθρώπῳ, οἶμαι, δυνατὰ ἔσται
10 τὸ μέτρον τῶν οὕτως ἀπολωλότων διερευνωμένῳ εὑ-
ρέσθαι. Πέρσαι τε καὶ Χοσρόης τετράκις μὲν ἐμβάλ- 23 □ □
λοντες ἐς τὴν ἄλλην Ῥωμαίων ἀρχὴν τάς τε πόλεις
καθεῖλον καὶ τοὺς ἀνθρώπους οὓς ἂν λάβοιεν ἔν τε
πόλεσι ταῖς ἁλισκομέναις καὶ χώρᾳ ἑκάστῃ τοὺς μὲν
15 κτείνοντες, τοὺς δὲ ξὺν αὐτοῖς ἐπαγόμενοι, ἔρημον
τὴν γῆν κατεστήσαντο τῶν ἐνοικούντων, ᾗπερ αὐτοὺς
ἐπισκῆψαι ξυνέπεσεν. ἐξ οὗ δὲ καὶ εἰς γῆν τὴν Κολ- 24
χίδα ἐσήλασαν, αὐτοῖς τε καὶ Λαζοῖς καὶ Ῥωμαίοις
διαφθείρεσθαι μέχρι δεῦρο ξυμβαίνει.

20 Οὐ μέντοι οὐδὲ Πέρσαις ἢ Σαρακηνοῖς ἢ Οὔννοις 25
ἢ τῷ Σκλαβηνῶν γένει ἢ τῶν ἄλλων βαρβάρων τισὶν
ἀκραιφνέσιν ἐκ Ῥωμαίων τῆς γῆς ξυνηνέχθη ἀπαλ-
λαγῆναι. ἔν τε γὰρ ταῖς ἐφόδοις καὶ πολλῷ ἔτι μᾶλ- 26 □
λον ἔν τε πολιορκίαις καὶ ξυμβολαῖς ἐναντιώμασι P 55

4 cf. Ammian. Marcell. XIV 4

2 ⟨εἶναι⟩ addidi, cf. Hy 2, p. 38 ‖ 3 ἐν om. *P* ‖ 5 τῆς Dind.] γῆς codd. ‖ 10 τὸ μέτρον *G P*] τῷ μέτρῳ *S* | οὕτως Dind.] οὕτω codd. ‖ 11 τετράκις scripsi] τρὶς codd., cf. I 268, 16 ‖ 15 αὐτοῖς Kraš.] αὐτοῖς codd. ‖ 18 ἐσήλασαν] ἐσέλασαν *P S*, εἰσέλασαν *G*, εἰσήλασαν correxit Dind. ‖ 19 δεῦρο μέχρι *S* ‖ 20 ἢ 2 *G P*] καὶ *S* | οὔνοις *G P* ‖ 21 τῷ *P S*] τὸ *G* | Σκλαβηνῶν Alem.] σκλαβῶν *G*, σκλαβώνων *P S* ‖ 22 ἐκ Alem.] ἐς codd.

πολλοῖς προσεπταικότες οὐδέν τι ἧσσον ξυνδιεφθάρη-
27 σαν. οὐ γὰρ Ῥωμαῖοι μόνον, ἀλλὰ καὶ βάρβαροι
σχεδόν τι πάντες τῆς Ἰουστινιανοῦ μιαιφονίας ἀπώ-
28 ναντο. ἦν μὲν γάρ [τε] καὶ Χοσρόης αὐτός τε πονη-
ρὸς τὸ ἦθος καί, ὥς μοι ἐν λόγοις εἴρηται τοῖς καθή- 5
κουσι, τὰς μὲν αἰτίας αὐτῷ τοῦ πολέμου ὅδε παρείχετο
29 πάσας. οὐ γὰρ ἠξίου τοῖς καιροῖς ἐναρμόζειν τὰς
πράξεις, ἀλλ' ἀπὸ καιροῦ πάντα εἰργάζετο, ἐν μὲν
εἰρήνῃ καὶ σπονδαῖς ἐξαρτυόμενος ἀεὶ νῷ δολερῷ ἐπὶ
τοὺς πέλας πολέμου αἰτίας, ἐν δὲ τῷ πολέμῳ ἀναπεπτω- 10
κώς τε οὐδενὶ λόγῳ καὶ τὴν τῶν ἔργων παρασκευὴν
B 110 ὀκνηρῶς ἄγαν διὰ φιλοχρηματίαν ποιούμενος, ἀντί τε
σπουδῆς τῆς περὶ ταῦτα περισκοπῶν μὲν τὰ μετέωρα,
περιέργος δὲ ἀμφὶ τῇ τοῦ θεοῦ φύσει γινόμενος, καὶ
οὔτε τὸν πόλεμον μεθιείς, τῷ μιαιφόνος τις καὶ πα- 15
λαμναῖος εἶναι, οὔτε περιεῖναι τῶν πολεμίων οἷός τε
ὤν, τῷ μὴ τὰ δέοντα ὑπὸ σμικρολογίας περιεργάζεσθαι.
30 ταύτῃ τε ⟨αὐ⟩τοῦ βασιλεύοντος ἡ γῆ ξύμπασα ἔμπλεως

---

3 cf. Agath. 332, 1 || 5 cf. I 118, 7 || 7—8 οὐ—εἰργάζετο] cit. Suid. s. v. ἠξίου || 8—10 ἐν—αἰτίας] ἐν μὲν εἰρηνικαῖς σπονδαῖς ἐξαρτούμενος κτλ. Suid. s. v. ἐξαρτήσας || 10—12 ἐν δὲ—ποιούμενος] ὁ δὲ ἐν τῷ πολ. κτλ. Suid. s. v. ἀναπεπτωκώς || 16—17 οὔτε περιεῖναι—περιεργάζεσθαι] οὐδὲ περιεῖναι κτλ. Suid. s. v. περιεῖναι

---

2 ῥωμαῖοι S] ῥωμαίων G P || 3 τῆς—μιαιφονίας Reiske] τῇ μιαιφονίᾳ codd. || 4 [τε] inclusi] τοι Reiske et Kraš., hic tamen adnotat: „deleri quoque possit" || 5 ὥς Alem.] ὅς codd., ⟨δολερ⟩ ὸς, ⟨ὡς⟩ Kraš. || 6 αὐτῷ Alem.] αὐτῶν codd. || 8 ἄπο codd. | πάντα] παντὸς Suid. || 9 ἐξαρτυόμενος Alem.] ἐξαρτούμενος codd. || 15 οὔτε Dind.] οὐδὲ G P, μὴ δὲ S | πόλεμον Reiske] πολέμιον codd. || 15—16 παλαμναῖος P S] τυραννικὸς G || 16 οὔτε Dind.] οὐδὲ codd. | πολεμικῶν S || 17 περιεργάζεσθαι codd.] ἐργάζεσθαι Suid. || 18 ⟨αὐ⟩τοῦ Reiske] τοῦ codd.

αἵματος ἀνθρωπείου ἔκ τε Ῥωμαίων καὶ βαρβάρων σχεδόν τι πάντων διαρκῶς γέγονε.

Ταῦτα μέντοι κατὰ τὸν πόλεμον πανταχόθι ⟨γῆς⟩ 31 τῆς Ῥωμαίων ξυλλήβδην εἰπεῖν ὑπὸ τοῦτον τὸν χρό-
5 νον ξυνηνέχθη γενέσθαι. τὰ δὲ κατὰ στάσιν ἔν τε 32 Βυζαντίῳ καὶ πόλει ἑκάστῃ ξυνενεχθέντα διαριθμού- □ μενος οὐκ ἐλάσσω ἀνθρώπων φόνον ταύτῃ ξυμβῆναι ἢ κατὰ τὸν πόλεμον οἴομαι. τοῦ γὰρ δικαίου καὶ 33 τῆς ὁμοίας ἐπιστροφῆς ἐπὶ τοῖς ἁμαρτανομένοις ὡς
10 ἥκιστα ὄντων, ἀλλὰ κατεσπουδασμένου τῷ βασιλεῖ θατέρου τοῖν μεροῖν μάλιστα ἡσυχίαν οὐδὲ θάτεροι ἦγον, ἀλλ' οἱ μὲν τῷ ἐλασσοῦσθαι, οἱ δὲ τῷ θαρσεῖν ἐς ἀπόγνωσίν τε καὶ ἀπόνοιαν ἀεὶ ἔβλεπον, καὶ πῆ μὲν ἀθρόοι ἐπ' ἀλλήλους ἰόντες, πῆ δὲ κατ' ὀλίγους
15 μαχόμενοι, ἢ καὶ κατ' ἄνδρα ἕνα τὰς ἐνέδρας, ἂν οὕτω τύχοι, ποιούμενοι ἐς δύο καὶ τριάκοντα ἐνιαυτοὺς οὐδένα ἀνιέντες καιρὸν αὐτοί τε εἰργάζοντο ἀλλήλους ἀνήκεστα ἔργα καὶ πρὸς τῆς τῷ δήμῳ ἐφεστώσης ἀρ- χῆς ὡς τὰ πολλὰ διεφθείροντο. ἡ μέντοι τίσις τῶν 34
20 ἁμαρτανομένων ἐκ τοῦ ἐπὶ πλεῖστον ἐς τοὺς Πρασίνους ἐγίνετο. ἔτι μὴν καὶ ἡ ἐς τοὺς Σαμαρείτας καὶ τοὺς καλουμένους αἱρετικοὺς κόλασις φόνου ἐνέπλησε τὴν Ῥωμαίων ἀρχήν. ταῦτα δέ μοι ὅσον ἐν κεφαλαίῳ 35 εἰρῆσθαι ἀπομνημονεύεται τανῦν, ἐπεί μοι ἱκανῶς B 111
25 ὀλίγῳ ἔμπροσθεν δεδιήγηται.

24 cf. 72 ss.

3 ⟨γῆς⟩ Kraš. ‖ 6 ξυνενεχθέντα *G P*] om. *S* ‖ 11 θάτεροι *G P*] θάτερον *S* ‖ 13—14 πῆ—πῆ Dind.] πῇ—πῇ codd. ‖ 17 ἀλ- λήλους *G P*] om. *S* ‖ 18 ἔργα *G P*] om. *S* ‖ 19 διεφθείροντο *S*] διεφθείρετο *G P* ‖ 20 εἰς *G* ‖ 21 ἐγίνετο *G P*] ἐγένετο *S* | μὴν Dind.] μὲν codd. ‖ 22 φόνου *P S*] φόνον *G* ‖ 24 ἀπομνημονεύε- ται *P S*] ἀπομνημονεύεσθαι *G*

36 *Ταῦτα μὲν κατὰ τὸν ἐν σώματι γενόμενον δαίμονα τετύχηκε γενέσθαι ἐς πάντας ἀνθρώπους, ὧνπερ τὰς αἰτίας αὐτὸς ἅτε βασιλεὺς καταστὰς ἔδωκε· καὶ ὅσα μέντοι κατακεκρυμμένῃ δυνάμει καὶ φύσει δαιμονίᾳ*
37 *διειργάσατο ἀνθρώπους κακά, ἐγὼ δηλώσω. τούτου* 5 *γὰρ Ῥωμαίων διοικουμένου τὰ πράγματα πολλὰ καὶ*
□ *ἄλλα πάθη ξυνηνέχθη γενέσθαι, ἅπερ οἱ μὲν τῇ τοῦ πονηροῦ δαίμονος τῇδε παρουσίᾳ ἰσχυρίζοντο καὶ μηχανῇ ξυμβῆναι, οἱ δὲ αὐτοῦ τὸ θεῖον τὰ ἔργα μισῆσαν ἀποστραφέν τε ἀπὸ τῆς Ῥωμαίων ἀρχῆς, χώραν δαί-* 10 *μοσι τοῖς παλαμναίοις ἐνδεδωκέναι ταῦτα διαπράξασθαι*
38 P 56 *τῇδε. Ἔδεσσαν μὲν γὰρ Σκιρτὸς ἐπικλύσας ὁ ποταμὸς μυρίων δημιουργὸς τοῖς ἐκείνῃ ἀνθρώποις συμφορῶν*
□ □ *γέγονεν, ὥς μοι ἐν τοῖς ὄπισθεν λόγοις γεγράψεται.*
39 *Νεῖλος δὲ ἀναβὰς μὲν ᾗπερ εἰώθει, χρόνοις δὲ οὐκ* 15
□ *ἀποβὰς τοῖς καθήκουσι, ⟨δεινά⟩ τινας τῶν ᾠκημένων εἰργάσατο ἔργα, ἅπερ μοι καὶ πρότερον δεδιήγηται.*
□ 40 *Κύδνος δὲ Ταρσὸν περιβαλλόμενος σχεδόν τι πᾶσαν*

---

12 Mal. 418, 8. Theoph. I 171, 18. Euagr. IV 8. Cedren. I 639, 21. Zonar. III 268. Zach. 154, 4. Mich. Syr. 180 ss. Chron. Edess. p. 129. Cramer, An. Par. II 319 ‖ 14 *γεγράψεται*] de aedif. II cap. 7, 2 ‖ 17 *δεδιήγηται*] II 423 s. cf. Ioannes de Niciu 513 ‖ 18 *Κύδνος*] cf. de aedif. V cap. 5, 14. Mich. Syr. p. 194. Bar-Hebr. 84

---

1 *ταῦτα*] ⟨*καὶ*⟩ *ταῦτα* Reiske ‖ 2 *ἐς πάντας ἀνθρώπους τετύχ. γενέσθαι P* ‖ 3 *καὶ ὅσα*] *ὅσα* Reiske ‖ 4 *δυνάμει G P, S* pr. m. corr.] *διανοίᾳ S* pr. m. ‖ 5—6 *τούτου—διοικουμένου* Alem.] *τούτω—διοικουμένω* codd. ‖ 7 *ἄλλα*] *ἀλλόκοτα* Reiske ‖ 10 *ἀποστραφέν τε* Alem.] *ἀποστραφέντα* codd. ‖ 12 *Ἔδεσσαν* Dind.] *ἔδεσαν* codd. | *σκυρτὸς G* ‖ 13 *ξυμφορῶν S* ‖ 14 *ὄπισθεν* scripsi] *ἔμπροσθεν* codd., cf. Hy 3, p. 172 ‖ 16—17 ⟨*δεινά*⟩ *τινας τ. ᾠκ. εἰργ. ἔργα* Kraš.] *τίνα* (conicio *κενὰ*) *τῶν ᾠκημένων εἰργάσατο ἔργα* codd., *τινὰ τῶν ᾠκ. εἰργ. ἔρημα* Reiske, *δεινὰ τοὺς ᾠκημένους εἰργάσατο ἔργα* Alem. ‖ 18 *περιβαλόμενος P* | *πᾶσαν* Alem.] *πάσας* codd.

ἡμέρας τε αὐτὴν ἐπικλύσας πολλὰς οὐ πρότερον ἀπέστη ἕως αὐτὴν ἀνήκεστα κακὰ ἔδρασε. σεισμοὶ δὲ Ἀντιό- 41
χειάν τε καθεῖλον τὴν τῆς ἑῴας πρώτην καὶ Σελεύ-
κειαν, ἥπερ αὐτῆς ἐκ γειτόνων οἰκεῖται, καὶ τὴν ἐν
5 *Κίλιξιν ἐπιφανεστάτην Ἀνάζαρβον. αἷς τῶν ⟨ξυν⟩απο-* 42
λωλότων ἀνθρώπων τὸ μέτρον τίς ἂν διαριθμεῖσθαι
δυνατὸς εἴη; προσθείη δὲ ἄν τις τά τε Ἴβωρα καὶ
Ἀμάσειαν, ἣ πρώτη ἐν Πόντῳ ἐτύγχανεν οὖσα, Πολύ-
βοτόν τε τὴν ἐν Φρυγίᾳ καὶ ἣν Πισίδαι Φιλομηδὴν
10 *καλοῦσι, Λύχνιδόν τε τὴν ἐν Ἠπειρώταις καὶ Κό-* B 112
ρινθον, αἳ δὴ πολυανθρωπόταται ἐκ παλαιοῦ ἦσαν.
ταύταις γὰρ ἁπαξαπάσαις ὑπὸ τοῦτον τὸν χρόνον 43
σεισμῷ τε καταπεσεῖν καὶ τοῖς ᾠκημένοις σχεδόν τι
πᾶσι ξυνδιολωλέναι τετύχηκεν. ἐπιγενόμενος δὲ καὶ ὁ 44
15 *λοιμός, οὗ πρόσθεν ἐμνήσθην, τὴν ἡμίσειαν μάλιστα*
τῶν περιγινομένων ἀνθρώπων ἀπήνεγκε μοῖραν. το- 45
σούτων μὲν ἀνθρώπων ἐγένετο φθόρος, Ἰουστινιανοῦ
πρότερον Ῥωμαίοις διοικουμένου τὴν πολιτείαν καὶ
ὕστερον τὴν αὐτοκράτορα ἀρχὴν ἔχοντος.

2—3 *Ἀντιόχειάν*] Mal. 419, 5. 442, 18. Euagr. IV 5. Niceph. Call. XVII 3. Cramer, An. Par. II 109. 320. Cedren. I 641, 1. 646, 5. Ioannes de Niciu 504 s. Chron. Edess. 132. Douwen et Land, Ioannis episcopi Ephesi commentarii de beatis orientalibus, Amsterdam 1889, p. 224 ss. Zach. 154, 31. Theoph. I 172, 1. 10. 30. 177, 22 ‖ 3—4 *Σελεύκειαν*] Mal. 421, 14. Ioannes de Niciu 505 ‖ 5 *Ἀνάζαρβον*] Mal. 418, 6. Theoph. I 171, 14. Euagr. IV 8. Zonar. III 268. Niceph. Call. XVII 3. Cedren. I 639, 20 ‖ 8 *Ἀμάσειαν*] Mal. 448, 3 ‖ 10—11 *Κόρινθον*] Mal. 418, 4. Theoph. I 168, 10. Cedren. I 638, 15. Euagr. IV 8 ‖ 15 cf. I 249, 8

---

2 *ἕως S*] *ὡς G P* ‖ 5 *Ἀνάζαρβον*] *ἀνάβαρζον S* | *αἷς*] ⟨*ἐν*⟩ *αἷς* edd. cum Alem. ‖ 5—6 ⟨*ξυν*⟩*απολωλότων* scripsi] *ἀπολωλότων* codd., cf. vers. 14 ‖ 6 *ἀνθρώπων P S*] om. *G* ‖ 7 *δὲ*] *δ' P* ‖ 8 *ἐν Πόντῳ* om. *P* ‖ 9 *φιλομιδὴν PS* ‖ 10 *λύχνιδόν G P*] *λύχνιόν S* ‖ 15 *λοιμὸς*] *λιμὸς S* pr. m.

ιθ΄ Ὅπως δὲ καὶ τὰ χρήματα ἀφείλετο ἀπαξάπαντα ἐρῶν ἔρχομαι, ὄψιν ὀνείρου ὑπειπὼν πρότερον ἥνπερ κατ' ἀρχὰς τῆς Ἰουστίνου βασιλείας τῶν τινι 2 ἐπιφανῶν ἰδεῖν ξυνηνέχθη. ἔφη γάρ οἱ δοκεῖν ἐν τῷ ὀνείρῳ ἑστάναι μέν που ἐν Βυζαντίῳ παρὰ τὴν τῆς 5 θαλάσσης ἠιόνα, ἣ δὴ Χαλκηδόνος καταντικρύ ἐστιν, ὁρᾶν δὲ τοῦτον κατὰ τὸν ἐκείνῃ πορθμὸν ἑστῶτα 3 μέσον. καὶ πρῶτον μὲν [τοι] τὸ ὕδωρ τῆς θαλάσσης αὐτὸν ἐκπιεῖν ὅλον, ὥστε οἴεσθαι τὸ λοιπὸν αὐτὸν ἐπὶ τῆς ἠπείρου ἑστάναι, οὐκέτι τοῦ πορθμοῦ ταύτῃ 10 ἐπιόντος, ἔπειτα ⟨δὲ⟩ ὕδωρ ἄλλο ῥύπου τε πολλοῦ καὶ φορυτοῦ γέμον, βρύσαν ἐξ ὑπονόμων ἑκατέρωθεν ὄντων, ἐνταῦθα γενέσθαι, καὶ αὐτὸ μὲν τοῦτον ἐκπιεῖν ἅμα, γυμνόν τε αὖθις ἐξεργάσασθαι τοῦ πορθμοῦ χῶρον. 15

4 Ἡ μὲν τοῦ ὀνείρου ὄψις ἐδήλου τοιαῦτα. Ἰουστινιανὸς δὲ οὗτος, ἡνίκα οἱ ὁ θεῖος Ἰουστῖνος τὴν βασιλείαν παρέλαβε, χρημάτων δημοσίων ἔμπλεων τὴν 5 πολιτείαν εὗρεν. Ἀναστάσιος γὰρ προνοητικώτατός τε ἅμα καὶ οἰκονομικώτατος πάντων αὐτοκρατόρων γενό- 20 μενος, δείσας ὅπερ ἐγένετο, μή οἱ ὁ τὴν βασιλείαν B 113 ἐκδεξόμενος χρημάτων ὑποσπανίζων ἴσως τοὺς κατη- P 57 κόους ληΐζηται, χρυσοῦ τοὺς θησαυροὺς ἅπαντας κατα- 6 κόρως ἐμπλησάμενος, τὸν βίον ξυνεμετρήσατο. οὗσπερ


22 χρημάτων κτλ.] χρημάτων τε ὑποσπανίζων τοὺς ὑπηκόους ἐληΐζετο Suid. s. v. ὑποσπανίζων

3 Ἰουστίνου scripsi] ἰουστινιανοῦ codd., cf. Hy 2, p. 38 s. ‖ 8 τοι inclusi ‖ 9 ἐκπιεῖν om. S ‖ 10 ταύτῃ Alem.] ταῦτα codd. ‖ 11 ⟨δὲ⟩ addidi ‖ 12 φορυτοῦ PS] φωρυτοῦ G ‖ 14 τε] δὲ Kraš. ‖ 17 δὲ om. S ‖ 20 οἰκονομικώτατος S] οἰκονομητικώτατος G P ‖ 24 συνεμετρήσατο S

ἅπαντας Ἰουστινιανὸς ὡς τάχιστα διεσπάσατο, πὴ μὲν
θαλασσίοις οἰκοδομίαις λόγον οὐκ ἐχούσαις, πὴ δὲ τῇ
ἐς τοὺς βαρβάρους φιλότητι· καίτοι ᾠήθη ἄν τις αὐ-
τοὺς βασιλεῖ ἐς ἄγαν ἀσώτῳ ἐσομένῳ ἐτῶν ἑκατὸν
5 ἐπαρκέσειν. ἰσχυρίζοντο γὰρ οἱ τοῖς θησαυροῖς τε καὶ 7
ταμείοις καὶ ἄλλοις ἅπασι τοῖς βασιλικοῖς χρήμασιν
ἐφεστῶτες, Ἀναστάσιον μὲν Ῥωμαίων ἔτη πλέον ἢ
ἑπτὰ καὶ εἴκοσιν ἄρξαντα διακόσια καὶ τρισχίλια χρυ-
σοῦ κεντηνάρια ἐν δημοσίῳ ἀπολιπεῖν. ἐπὶ μέντοι 8
10 Ἰουστίνου ἔτη ἐννέα τὴν αὐτοκράτορα ἀρχὴν ἔχοντος,
τούτου Ἰουστινιανοῦ ξύγχυσίν τε καὶ ἀκοσμίαν τῇ
πολιτείᾳ προστριψαμένου, τετρακισχίλια κεντηνάρια ἐς
τὴν βασιλείαν εἰσκομισθῆναι οὐδενὶ νόμῳ, καὶ τούτων
ἁπάντων οὐδ' ὁτιοῦν ἀπολελεῖφθαι, ἀλλ' ἔτι περιόντος
15 Ἰουστίνου πρὸς τοῦδε τοῦ ἀνθρώπου δεδαπανῆσθαι
ᾗπέρ μοι ἐν τοῖς ἔμπροσθεν εἴρηται λόγοις. ἅπερ γὰρ 9
αὐτὸς ἐν τῷ παντὶ χρόνῳ σφετερίζεσθαί τε οὐ δέον
καὶ ἀναλοῦν ἴσχυσεν, οὐδ' ἄν τινα λόγον ἢ λογισμὸν
ἢ μέτρον φανῆναι μηχανή τις οὐδεμία ἐστίν. ὥσπερ 10
20 γάρ τις ποταμὸς ἀένναος ἐς ἡμέραν ἑκάστην ἐδῄου τε

16 cf. 51, 7. Iustinianum consulem anno 521 pecuniam profudisse dicit Marcell. Com. ad a. 521 ‖ 19—122, 1 ὥσπερ—ὑπηκόους] ὁ δὲ Ἰουστινιανὸς ὥσπερ ποταμὸς κτλ. Suid s. v. ἀένναος

1 τάχιστα *G P*] ταχύτητα *S* ‖ 1—2 πὴ—πὴ Dind.] πῇ—πῇ *P S*, ποῖ—ποῖ *G* ‖ 3—4 ᾠήθη ἄν τις (αὐτοὺς Reiske) αὐτὸ βασιλεῖ ἐς Maltr., ἀήθης (ἀήθ *G P*) ** ἄν τις αὐτοῦ βασιλείαις codd: ‖ 6 ἄλλοις ἅπ. τοῖς codd.] τοῖς ἄλλοις ἅπ. Alem. | 7 Ἀναστάσιον Kraš.] ἀναστασίου codd. ‖ 8 ἄρξαντα *S*] ἄρξαντος *G P* ‖ 9—12 ἐν δημοσίω—κεντηνάρια *P S*] om. *G* ‖ 12—13 ἐς τὴν βασιλείαν *G P*] ἐν τοῖς βασιλείοις *S* ‖ 14 ἔτι Alem.] ὅτι codd. ‖ 15 Ἰουστίνου Alem.] ἰουστινιανοῦ codd. ‖ 16 λόγοις εἴρηται *G* ‖ 18 ἀναλοῦν Alem.] ἀναλογοῦν codd. ‖ 19 ἢ μέτρον *S*] ἡμέτερον *G P* | φάναι aut φῆναι Reiske, φανῆναι codd. | ἐστίν *G P*] ἦν *S* ‖ 20—122, 1 ἐκδηιούμενος κατεληΐζετο] ἐδῄου τε καὶ ἐληΐζετο Suid. | ἐκδηιούμενος Alem.] ἐνδηιούμενος codd.



καὶ ἐληίζετο τοὺς ὑπηκόους, ἐπέρρει δὲ ἅπαντα τοῖς βαρβάροις εὐθύς * *.

11 Πλοῦτον οὕτω τὸν δημόσιον εὐθὺς ἐκφορήσας ἐπὶ τοὺς κατηκόους τὸ βλέμμα ἦγε, πλείστους τε αὐτίκα τὰς οὐσίας ἀφείλετο ἁρπάζων τε καὶ βιαζόμενος οὐδενὶ λόγῳ, τῶν ἐγκλημάτων τε οὐδαμῆ γεγονότων ὑπάγων τοὺς εὐδαίμονας ἔν τε Βυζαντίῳ καὶ πόλει ἑκάστῃ δοκοῦντας εἶναι, καὶ τοῖς μὲν πολυθεΐαν, τοῖς δὲ (B 114) δόξης ἐν Χριστιανοῖς οὐκ ὀρθῆς αἵρεσιν, τοῖς δὲ παιδεραστίας, ἑτέροις ἱερῶν γυναικῶν ἔρωτας, ἢ ἄλλας τινὰς οὐ θεμιτὰς μίξεις, ἄλλοις στάσεως ἀφορμήν, ἢ μέρους Πρασίνου στοργήν, ἢ ἐς αὐτὸν ὑβρίζειν, ἢ ὄνομα ὁτιοῦν ἄλλο ἐπενεγκών, ἢ κληρονόμος αὐτόματος τοῖς τετελευτηκόσιν ἢ καὶ περιοῦσιν, ἂν οὕτω τύχοι, [γινόμενος] ἅτε ἐσποιητὸς πρὸς αὐτῶν γενόμενος. 12 αἱ γὰρ δὴ σεμνόταται τῶν πράξεων αὐτῷ τοιαῦται ἦσαν. ὅπως δὲ καὶ τὴν γενομένην ἐπ' αὐτὸν στάσιν, ἣν Νίκα ἐκάλουν, διοικησάμενος πᾶσι κληρονόμος τοῖς ἐκ βουλῆς εὐθὺς γέγονεν ἤδη μοι ἔναγχος δεδιήγηται, καὶ ὅπως τῆς στάσεως πρότερον οὐκ ὀλίγων αὐτὸς ἰδίᾳ ἑκάστου τὴν οὐσίαν ἀφείλετο.

13 Τοὺς δὲ βαρβάρους ἅπαντας οὐδένα ἀνιεὶς καιρὸν χρήμασιν ἐδωρεῖτο μεγάλοις, ἑῴους τε καὶ ἑσπερίους

11—13 ἄλλοις—ἐπενεγκὼν] ἄλλοις—στοργὴν Ἰουστινιανὸς ἐπενεγκὼν ἀνῄρει Suid. s. v. Πράσινον χρῶμα ‖ 19 cf. III 79, 9

---

2 εὐθὺς om. *P*, post εὐθύς spatium vacuum est trium fere verborum in *G P*, unius verbi in *S*, fortasse exciderunt: ἢ ῥοθίοις τισὶ θαλασσίοις. cf. infra 123, 10 ‖ 11—12 ἢ μέρους *G P*] ἡμέρου *S* ‖ 12 ὑβρίζειν] ὕβριν vel ὕβρισιν Reiske ‖ 15 γινόμενος ἅτε ἐσποιητὸς πρὸς αὐτῶν *P S*] om. *G*, inclusi γινόμενος ‖ 18 ἣν νίκα a corr., Alem.] ἡνίκα *G P S*, a pr. m. ‖ 20 πρότερον οὐκ ὀλίγων *P S*] οὐκ ὀλίγων πρότερον *G*

πρός τε ἄρκτον καὶ μεσημβρίαν, ἄχρι ἐς τοὺς ἐν
Βρεττανίαις ᾠκημένους καὶ γῆς πανταχόθι τῆς οἰκου-
μένης τὰ ἔθνη, ὧνπερ οὐδὲ ὅσον ἀκοὴν πρότερον
εἴχομεν, ἀλλὰ πρῶτον ἰδόντες εἶτα τοῦ γένους ὄνομα
5 ἔγνωμεν. αὐτοί τε γὰρ πυνθανόμενοι τὸ τοῦ ἀνδρὸς 14
ἦθος ἐπ' αὐτὸν δὴ ἐκ πάσης γῆς ξυνέρρεον ἐς Βυ-
ζάντιον. καὶ ὃς οὐδεμιᾷ ὀκνήσει, ἀλλ' ὑπερηδόμενός 15
τε τῷ ἔργῳ τούτῳ, καί τι καὶ ἕρμαιον εἶναι οἰόμενος
τὸν μὲν Ῥωμαίων ἐξαντλεῖν πλοῦτον, βαρβάροις δὲ
10 ἀνθρώποις ἢ ῥοθίοις τισὶ θαλασσίοις προΐεσθαι, ἀεὶ
καθ' ἑκάστην αὐτῶν ἕκαστον ξὺν ἁδροῖς χρήμασιν
ἀπεπέμπετο. ταύτῃ τε οἱ βάρβαροι ἅπαντες κύριοι 16
τοῦ Ῥωμαίων παντάπασι γεγένηνται πλούτου, ἢ τὰ
χρήματα πρὸς τοῦ βασιλέως κεκομισμένοι ἢ ληϊζόμενοι
15 τὴν τῶν Ῥωμαίων ἀρχὴν, ἢ τοὺς αἰχμαλώτους ἀποδι- P 58
δόμενοι, ἢ τὴν ἐκεχειρίαν ἀπεμπολοῦντες, τήν τε τοῦ
ὀνείρου ὄψιν, ἧς ἄρτι ἐμνήσθην, ἐς τοῦτο τῷ ἰδόντι B 115
ἀποκεκρίσθαι τετύχηκε. καὶ ἄλλους μέντοι ἐπιτεχνή- 17
σασθαι τῆς τῶν κατηκόων λεηλασίας τρόπους ἴσχυσεν,
20 οἵπερ ἐς ὅσον δυνατὸς ἂν εἴην αὐτίκα μάλα λελέξον-
ται, δι' ὧν οὐκ ἀθρόας, ἀλλὰ ⟨κατὰ⟩ βραχὺ τὰς πάν-
των οὐσίας ληΐζεσθαι διαρκῶς ἔσχε.

κ'. Πρῶτα τῷ δήμῳ [οἱ] ἔπαρχον ἐν Βυζαντίῳ ἐκ

---

1 ἄρκτον G P] ἄρκτους S | ἄχρις ἐς S ‖ 2 βρετανίαις P S ‖ 3—4 τὰ ἔθνη, ὧνπερ οὐδὲ ὅσον ἀκοὴν πρότερον εἴχομεν scripsi] ὧνπερ τὰ ἔθνη οὐδὲ ὅσον ἀκοῇ πρότερον εἴχομεν codd., τὰ ἔθνη, ἅπερ, οὐδὲ ὅσον ἀκοῇ, πρότερον εἴδομεν Reiske ‖ 4 εἶτα] οὕτω P ‖ 6 συνέρρεον S ‖ 7 ὑπερηδόμενός P pr. m. corr.] ὑπερειδόμενός G, P pr. m., S ‖ 9 τὸν Alem.] τῶν codd. ‖ 11 χρήμασιν] σχήμασιν P ‖ 13 τοῦ Alem.] τῶν G S, τοῦ τῶν P | παντάπασι P] ἁπαντάπασιν G, ἅπασι S pr. m., παντ in marg. pr. m. adscriptum est ‖ 14 κεκομισμένοι] καὶ κομισμένοι S ‖ 16 ἐγκεχειρίαν G ‖ 18 μέντοι G] μέντι P S ‖ 21 ⟨κατὰ⟩ addidit Alem. ‖ 23 δήμω οἱ codd.] οἱ delevit Maltr. | ἐν βυζαντίω P S] om. G

τοῦ ἐπὶ πλεῖστον ἐφίστη, ὃς δὴ ἔμελλε τοῖς τὰ πωλη-
τήρια ἔχουσι πόρου ἐνιαυσίου ἐνθένδε διαλαγχάνων
ἐς τὴν ἐξουσίαν αὐτοὺς ἐμβιβάζειν τοῦ τὰ ὤνια ὅπῃ
2 βούλοιντο ἀποδίδοσθαι. καὶ περιεστήκει τοῖς τῇδε
ἀνθρώποις ὠνεῖσθαι τὰ ἐπιτήδεια, τριπλασίονα μὲν 5
καταβαλλομένοις τιμήματα, ὅτῳ δὲ ἂν διὰ ταῦτα ἐπι-
3 καλοῖεν, οὐδαμῇ ἔχουσι. μέγα τε τὸ ἀπὸ τοῦ ἔργου
βλάβος ἠγείρετο. μέρος γὰρ τῆς βασιλείας τοῦδε φερο-
μένης τοῦ πόρου πλουτεῖν ἀπ' αὐτοῦ ἡ τῷ πράγματι
4 ἐφεστῶσα ἀρχὴ ἤθελε. τὸ δὲ ἐνθένδε οἵ τε τῆς ἀρχῆς 10
ὑπηρέται τῆς αἰσχρᾶς ταύτης ὑπουργίας ἐπειλημμένοι
καὶ οἱ τὰ πωλητήρια ἔχοντες τῆς τοῦ παρανομεῖν
ἐξουσίας δραξάμενοι ἀνήκεστα ἔργα τοὺς τότε ὠνεῖσθαι
δεομένους εἰργάζοντο, οὐχ ὅσον [πολλὰ εἴρηται] πολ-
λαπλάσια τὰ τιμήματα κομιζόμενοι, ἀλλὰ καὶ δολώσεις 15
ἐν τοῖς ὠνίοις μηχανώμενοι ἀμυθήτους τινάς.

5 Ἔπειτα δὲ πολλὰ καταστησάμενος τὰ καλούμενα
μονοπώλια τήν τε κατηκόων σωτηρίαν ἀπεμπολήσας
τοῖς τὸ ἄγος τοῦτο ἐνεργολαβεῖν ἀξιοῦσιν, αὐτὸς μὲν
τίμημα τοῦ ἔργου τούτου ἀντιφορτισάμενος ἀπηλλάσ- 20
σετο, τοῖς δὲ αὐτῷ ξυμβεβληκόσι παρείχετο τὴν ἐργα-
6 B 116 σίαν ᾗ βούλοιντο διοικήσασθαι. ὅπερ ἀπαρακαλύπτως
ἡμαρτάνετο κἀν ταῖς ἄλλαις ἁπάσαις ἀρχαῖς. βασιλέως
γὰρ μοῖράν τινα οὐ πολλὴν ἀεὶ τῶν φορίων κομιζο-

2 πόρου ἐνιαυσίου scripsi] πόρον ἐνοῦ G, πόρου ἐνοῦ PS, πόρον ἐνιαύσιον Reiske ‖ 3 ὅπῃ G P] ὅποι S ‖ 4 περιειστήκει G ‖ 13 ὠνεῖσθαι om. P ‖ 14—15 [πολλὰ εἴρηται] πολλαπλάσια scripsi] πολλὰ (πολλαὶ G, πολλοὶ P) εἴρηται πολλαπλάσια codd., ὡς εἴρηται πολλαπλάσια edd. cum Alem., εἴρηται πολλαπλάσια videtur in marg. adnotasse librarius codicis archetypi ‖ 19 ἄγος] ἄργος S ‖ 21 συμβεβληκόσι S ‖ 22 ᾗ G P] εἰ S ‖ 24 ἀεὶ post γὰρ ponit et post πολλὴν omittit G

μένου αἵ τε ἀρχαὶ ἀπ' αὐτοῦ καὶ οἱ πράγματι ἐφεστῶ-
τες ἑκάστῳ ἀδεέστερον τοὺς σφίσι παραπίπτοντας
ἐληΐζοντο. ὥσπερ δὲ οὐχ ἱκανῶν οἱ ἐς τοῦτο οὐσῶν 7
τῶν πάλαι διατεταγμένων ἀρχῶν, ἑτέρας δύο ἐπὶ τῇ
5 πολιτείᾳ ἐπετεχνήσατο, καίτοι ἅπαντα μετῄει πρότερον
τὰ ἐγκλήματα ἡ τῷ δήμῳ ἐφεστῶσα ἀρχή. ἀλλ' ὅπως 8
ἀεὶ πλείους τε οἱ συκοφάνται εἶεν καὶ πολλῷ ἔτι
θᾶσσον τῶν οὐδὲν ἐπταικότων ἀνθρώπων τὰ σώματα
αἰκίζοιτο, ταύτας δὴ τὰς ἀρχὰς ἐπινοεῖν ἔγνω. καὶ 9
10 αὐταῖν τὴν ἑτέραν μὲν τοῖς κλέπταις δῆθεν τῷ λόγῳ
ἐπέστησεν, ὄνομα ταύτῃ ἐπιθεὶς πραίτωρα δή⟨μων⟩·
τῇ δὲ δὴ ἑτέρᾳ τούς τε παιδεραστοῦντας ἐς ἀεὶ τίν-
νυσθαι καὶ γυναιξὶν οὐ νόμιμα μιγνυμένους ἐπήγ-
γελλε, καὶ εἴ τῳ τὰ ἐς τὸ θεῖον οὐκ ὀρθῶς ἤσκηται,
15 ὄνομα ταύτῃ ἐπιθεὶς κοιαισίτωρα. ὁ μὲν οὖν πραίτωρ 10
εἴ τινα ἐν τοῖς φωρίοις λόγου πολλοῦ ἄξια εὗρε,
ταῦτα δὴ τῷ αὐτοκράτορι ἀποφέρειν ἠξίου, φάσκων P 59
οὐδαμῇ φαίνεσθαι τοὺς τούτων κυρίους. ταύτῃ τε 11
χρημάτων ἀεὶ τῶν τιμιωτάτων διαλαγχάνειν ὁ βασιλεὺς
20 εἶχεν. ὁ δὲ δὴ κοιαισίτωρ καλούμενος τοὺς παρα-
πεπτωκότας κατεργαζόμενος, ἃ μὲν βούλοιτο, ⟨βασιλεῖ⟩ □
ἔφερεν, αὐτὸς δὲ οὐδὲν ἧσσον ἐπλούτει τοῖς ἀλλο-
τρίοις οὐδενὶ νόμῳ. οἱ γὰρ δὴ τούτων τῶν ἀρχῶν 12

---

11 Mal. 479, 19. Ioannes Lydus 265, 5. Nov. 13, cap. I et Nov. 80, cap. 1

---

3 οὐχ ἱκανῶν οἱ *P S*] οἱ οὐχ ἱκανῶν *G* ‖ 8 ἀνθρώπων *P S*] om. *G* | τὰ *G P*] τά τε *S* ‖ 11 δή⟨μων⟩ scripsi] δή⟨μου⟩ Alem., δή codd. cf. Nov. 13, cap. 1 καὶ τῇ μὲν ἡμετέρᾳ φωνῇ praetores plebis προσαγορευέσθωσαν, τῇ δὲ ἑλλάδι ταύτῃ καὶ κοινῇ πραίτωρες δήμων ‖ 14 οὐκ om. *S* ‖ 19 ἀεὶ] αἳ *G* | διαλαγχάνειν Alem.] διαλανθάνειν codd. ‖ 21 ⟨βασιλεῖ⟩ addidi] om. codd., cf. 140, 10

ὑπηρέται οὔτε κατηγόρους ἐπήγοντο οὔτε μάρτυρας τῶν πεπραγμένων παρείχοντο, ἀλλὰ διηνεκὲς πάντα τοῦτον τὸν χρόνον ἀκατηγόρητοί τε καὶ ἀνεξέλεγκτοι ὡς λαθραιότατα ἐντυχόντες ἐκτείνοντό τε καὶ ἀφῃροῦντο τὰ χρήματα. 5

13 B 117 Ὕστερον δὲ ὁ παλαμναῖος οὗτος ταύταις τε καὶ τῇ τῷ δήμῳ ἐφεστώσῃ ἀρχῇ πάντων ὁμοίως ἐπιμελεῖσθαι τῶν ἐγκλημάτων ἐπέστελλεν, ἐρίζειν σφίσι πρὸς ἀλλήλους εἰπὼν ὅστις αὐτῶν πλείους τε καὶ θᾶσσον 14 διαφθείρειν ἱκανὸς εἴη. καὶ αὐτῶν ἕνα μὲν αὐτὸν 10 εὐθὺς ἐρέσθαι φασίν, ἢν ἐς τοὺς τρεῖς τίς ποτε διαβάλλοιτο, τίνος ἂν αὐτῶν ἡ τοῦ πράγματος διάγνωσις εἴη· τὸν δὲ ὑπολαβόντα φάναι, ὅστις ἂν αὐτῶν προ-15 τερήσας τοὺς ἄλλους φθάνοι. ἀλλὰ καὶ τὴν τοῦ κοιαίστωρος καλουμένην ἀρχὴν διέθετο οὐδενὶ κόσμῳ, 15 ἧσπερ διαφερόντως ἐπεμελοῦντο οἱ πρότερον βεβασιλευκότες, ὡς εἰπεῖν, ἅπαντες, ὅπως τε τὰ ἄλλα ἔμπειροι καὶ σοφοὶ [καὶ] τὰ ἐς τοὺς νόμους μάλιστα εἶεν οἱ ταύτην διαχειρίσαντες καὶ χρημάτων διαφανῶς ἀδωρότατοι, ὡς οὐκ ἄνευ μεγάλου ὀλέθρου τούτου γε τῇ 20 πολιτείᾳ γενησομένου, εἴπερ οἱ ταύτην τὴν ἀρχὴν ἔχοντες ἢ ἀπειρίᾳ τινὶ ἔχοιντο ἢ φιλοχρηματίᾳ ἐφεῖντο. 16 ὁ δὲ βασιλεὺς οὗτος πρῶτον μὲν ἐπὶ ταύτης Τριβωνιανὸν κατεστήσατο, οὗπερ τὰ ἐπιτηδεύματα ἐν τοῖς

---

1 οὔτε—οὔτε Dind.] οὐδὲ—οὐδὲ codd. | κατηγόρους *S*] κατ' ἀρχὰς κατηγόρους *GP* ‖ 3 ἀκατηγόρητοί Alem.] κατήγοροι codd., ἀκατήγοροί Kraš. ‖ 4 λαθραιότατα Alem.] λαθραιότατοι codd. | ἐκτείνοντό codd.] ἔκτεινόν Kraš. ‖ 10 διαφθείρειν Alem.] διαφέρειν codd. ‖ 13 αὐτῶν] αὐτὸν *P* ‖ 14 φθάνοι] φάνοι *G* ‖ 16 ἐπεμελοῦντο *P*] ἐπεμελῶντο *G*, ἐπεμέλοντο *S* ‖ 17 τε τὰ] τά τε Reiske ‖ 18 [καὶ] inclusi ‖ 20 γε om. *P* ‖ 21 εἴπερ Alem.] οἵπερ *G* pr. m., ὅνπερ *G* corr., *PS*

ἔμπροσθεν λόγοις διαρκῶς εἴρητο. ἐπεὶ δὲ ὁ Τριβω- 17
νιανὸς ἐξ ἀνθρώπων ἠφάνιστο, μοῖραν μὲν αὐτοῦ τῆς
οὐσίας ἀφείλετο, καίτοι παιδός τέ οἱ ἀπολελειμμένου
καὶ πλήθους ἐκγόνων, ⟨ἐπεὶ⟩ ἐπεγένετο τῷ ἀνθρώπῳ
5 ἡ τέλειος ἡμέρα τοῦ βίου, Ἰούνιλον δὲ Λίβυν γένος
ἐπὶ τῆς τιμῆς κατεστήσατο ταύτης, νόμου μὲν οὐδὲ
ὅσον ἀκοὴν ἔχοντα, ἐπεὶ οὐδὲ τῶν ῥητόρων τις ἦν,
γράμματα δὲ Λατῖνα μὲν ἐξεπιστάμενον, Ἑλληνικῶν
μέντοι ἕνεκα οὐδὲ πεφοιτηκότα πρὸς γραμματιστοῦ B 118
10 πώποτε, οὐδὲ τὴν γλῶσσαν αὐτὴν ἑλληνίζειν δυνά-
μενον (πολλάκις ἀμέλει φωνὴν Ἑλληνίδα προθυμηθεὶς
ἀφεῖναι πρὸς τῶν ὑπηρετούντων γέλωτα ὦφλεν), ἐς
δὲ τὴν αἰσχροκέρδειαν δαιμονίως ἐσπουδακότα, ὅς γε
γράμματα μὲν τὰ βασιλέως ἐν δημοσίῳ ἀπεμπολῶν ὡς
15 ἥκιστα κατεδύετο. ἑνὸς δὲ στατῆρος χρυσοῦ ἕνεκα 18
τὴν χεῖρα ὀρέγειν τοῖς ἐντυγχάνουσιν οὐδαμῇ ὤκνει.
οὐχ ἧσσόν τε ἢ ἑπτὰ ἐνιαυτῶν χρόνον τοῦτον ἡ πολι- 19
τεία τὸν γέλωτα ὦφλεν. ἐπεὶ δὲ καὶ Ἰούνιλος ἐς τὸ 20
μέτρον τοῦ βίου ἀφίκετο, Κωνσταντῖνον ἐπὶ τοῦδε
20 τοῦ ἀξιώματος κατεστήσατο, νόμων μὲν ὄντα οὐκ ἀμε-

1 cf. I 126, 10 ‖ 17 ἑπτὰ ἐνιαυτῶν] Cum historia arcana scriberetur anno 550, Iunilus autem, qui successerat Triboniano, tum iam septem annos quaestoris munere functus esset, sequitur Tribonianum non post annum 543 mortuum esse; immo conicio uno aut compluribus annis ante hoc tempus eum decessisse, cum ex eis, quae Procopius hic narrat, colligatur Constantinum a. 550 iam aliquantum temporis quaestorem fuisse.

1 εἴρητο codd.] εἴρηται Alem. ‖ 4 ⟨ἐπεὶ⟩ addidi] om. codd., ὅτ' Piccolos, ὧν Reiske, cf. Hy 2, p. 40 ‖ 5 Λίβυν Reiske] λιβύην codd. ‖ 6 νόμου *G P*] νόμον *S* ‖ 7 ὅσον *P S*] ὅς *G* ‖ 8 Λατῖνα Alem.] λάντινα *G*, *P* in contextu, λατινικὰ *P* in marg., λάτινα *S* ‖ 9 οὐδὲ Alem.] οὐδὲν codd. ‖ 10 γλῶτταν *G* ‖ 12 ὦφλε *G* ‖ 15 κατεδύετο Piccolos] κατεδέετο codd., κατῃδεῖτο Reiske

λέτητον, νέον δὲ κομιδῆ καὶ οὔπω ἀγωνίας δικανικῆς
ἐς πεῖραν ἐλθόντα, κλεπτίστατον δὲ καὶ ἀλαζονικώτα-
21 τον ἀνθρώπων ἁπάντων. οὗτος Ἰουστινιανῷ ποθεινό-
P 60 τατός τε ἄγαν καὶ φίλτατος ἐν τοῖς μάλιστα ἐγεγόνει,
□ ἐπεὶ καὶ δι' αὐτοῦ κλέπτειν τε καὶ δικάζειν ἀεὶ ὁ 5
22 βασιλεὺς οὗτος οὐδαμῆ ἀπηξίου. διὸ δὴ χρήματα
μεγάλα χρόνου ὀλίγου Κωνσταντῖνος ἔσχε καὶ ὑπερ-
φυεῖ τινι κόμπῳ ἐχρῆτο, ἀεροβατῶν τε καὶ πάντας
ἀνθρώπους περιφρονῶν, κἂν μέν τινες αὐτῷ πολλὰ
βούλοιντο χρήματα προέσθαι, ταῦτα δὴ κατατιθέντες 10
τῶν οἱ πιστοτάτων τισὶ τὰ σφίσιν ἐσπουδασμένα
23 κατορθοῦν ἴσχυον. αὐτῷ μέντοι ἐντυχεῖν ἢ ξυγγε-
νέσθαι τῶν πάντων οὐδενὶ γέγονε δυνατὸν, ὅτι μὴ
ἐς βασιλέα δρόμῳ ἰόντι ἢ ἀπαλλασσομένῳ ἐνθένδε
οὐ βάδην, ἀλλὰ σπουδῆ τε καὶ τάχει πολλῷ τοῦ μή 15
τινά οἱ ἀκερδῆ ἀσχολίαν τοὺς προσιόντας προστρί-
βεσθαι.

□ □ κα'. Ταῦτα μὲν οὖν τῆδε βασιλεῖ τῷδε εἶχε. πρὸς
B 119 δὲ τοῦ τῶν πραιτωρίων ἐπάρχου ἀνὰ πᾶν ἔτος πλέον
ἢ τριάκοντα κεντηνάρια πρὸς τοῖς δημοσίοις ἐπράσ- 20
2 σετο φόροις. οἷς δὴ ὄνομα τὸ ἀερικὸν ἐπιτέθεικεν,
ἐκεῖνο, οἶμαι, παραδηλῶν, ὅτι δὴ οὐ τεταγμένη τις
οὐδὲ ξυνειθισμένη οὖσα ἡ φορὰ ἐτύγχανεν αὕτη, ἀλλὰ
τύχῃ τινὶ ὥσπερ ἐξ ἀέρος ἀεὶ αὐτὴν φερομένην ἐλάμ-

8—9 ἀεροβατῶν—περιφρονῶν] ἐκ τοῦ ἀριστοφάνους ἔλαβε τοῦτο . τὸ τοῦ ἀριστοφάνους ἐνταῦθα λέγει· ἀεροβατῶ καὶ περιφρονῶ τὸν ἥλιον *P* in marg., cf. Aristoph. nub. 225

5—6 κλέπτειν—οὐδαμῆ] ὁ βασιλεὺς οὗτος κλέπτειν τε καὶ δικάζειν οὐδαμῆ *P* | ὁ βασιλεὺς οὗτος ἀεὶ *G* || 10 κατατεθέντες *P* || 13 δυνατὸν γέγονεν *S* || 18 ταῦτα *PS*] ταύτην *G* | βασιλεῖ] τῷ βασιλεῖ *P* || 21 ἐπιτέθεικεν *P*, Reiske] ἐπιτέθηκε *G*, ἐπιτέθηκεν *S*

βανε, δέον τῆς πονηρίας τῆς αὐτοῦ ταῦτα ἐπικαλεῖν
ἔργα. ὧν δὴ τῷ ὀνόματι οἱ ἐπὶ τῆς ἀρχῆς τεταγμένοι 3
ἀδεέστερον ἀεὶ ταῖς ἐς τοὺς κατηκόους λῃστείαις
ἐχρῶντο. καὶ ταῦτα μὲν τῷ αὐτοκράτορι ἀποφέρειν 4
5 ἠξίουν, αὐτοὶ δὲ πλοῦτον βασιλικὸν περιεβάλλοντο
οὐδενὶ πόνῳ. ὧνπερ Ἰουστινιανὸς ἐπιστροφὴν οὐδε- 5
μίαν ἐδικαίου ποιεῖσθαι, καιροφυλακῶν ὅπως, ἐπειδὰν
τάχιστα πλούτου τι μέγα περιβάλωνται χρῆμα, ἔγκλημα
ὅ τι δὴ αὐτοῖς ἐπενεγκὼν ἀπροφάσιστον ἀθρόον αὐτοῖς
10 ἀφαιρεῖσθαι τὴν οὐσίαν ἱκανὸς εἴη. ὅπερ καὶ Ἰωάννην
τὸν Καππαδόκην εἰργάσατο. ἅπαντες οὖν ἀμέλει ὅσοι 6
τῆς τιμῆς ὑπὸ τὸν χρόνον τοῦτον ἐλαμβάνοντο πλού-
σιοι ἐξαπιναίως οὐδενὶ γεγένηνται μέτρῳ, δυοῖν μέντοι
χωρίς, Φωκᾶ τε, οὗπερ ἐν τοῖς ἔμπροσθεν λόγοις
15 ἐμνήσθην ἅτε τοῦ δικαίου ἐς τὸ ἀκρότατον ἐπιμελητοῦ
γεγονότος· κέρδους γὰρ ὁτουοῦν οὗτος ὁ ἀνὴρ ἐν τῷ
ἀξιώματι καθαρὸς ἔμεινε, καὶ Βάσσου, ὃς δὴ ἐν χρόνῳ
τῷ ὑστέρῳ τὴν ἀρχὴν ἔλαβεν. ὧνπερ οὐδέτερος ἐνιαυ- 7
τὸν διασώσασθαι τὴν τιμὴν ἔσχεν, ἀλλ' ⟨ἅτε⟩ ἀχρεῖοί
20 τε καὶ τοῦ καιροῦ τὸ παράπαν ἀλλόκοτοι μηνῶν που
ὀλίγων τοῦ ἀξιώματος ἔξω γεγένηνται. ἵνα δὲ μὴ τὸ 8
καθ' ἕκαστόν μοι διηγουμένῳ ἀτελεύτητος ὁ λόγος εἴη,

---

14 Φωκᾶ] cf. I 127, 3. Phocas erat filius Crateri. cf. Ioannes Lydus 267, 5. Chron. Pasch. I 621, 9. Mal. 449, 5. Theoph. I 180, 16 || 17 Βάσσου] cf. Georg. Cod. de aed. *CP* 90

---

3 λῃστείαις Dind.] λῃστίαις *GS*, ληϊστείαις *P* || 5 ἠξίουν Alem.] ἠξίου codd. || 8 περιβάλωνται *P*, Reiske] περιβάλλωνται *S*, περιβάλλονται *G* | ἔγκλημα *PS*] om. *G* || 9 αὐτοῖς] αὐτοὺς conicit Kraš. || 10 καὶ *PS*] om. *G* || 12 τὴν τιμὴν Alem. | ὑπὸ Reiske] ὑπὲρ codd. | ἐλαμβάνοντο scripsi] ἐλάμβανον codd., ἔλαχον Reiske || 18—19 ἐνιαυτῷ *S* || 19 ἀλλ' ⟨ἅτε⟩ scripsi] ἀλλ' codd., cf. Hy 2, p. 41 || 21 τὸ] malim τὸ ⟨ἄγος⟩ aut τοῦτο

B 120 ταῦτα κἀν ταῖς ἄλλαις ἐπράσσετο ταῖς ἐν Βυζαντίῳ ἀρχαῖς.

9 Πανταχόθι μέντοι τῆς Ῥωμαίων ἀρχῆς ὁ Ἰουστι-
P 61 νιανὸς ἐποίει τάδε. τοὺς πονηροτάτους τῶν ἀνθρώπων
ἀπολεξάμενος διεφθάρθαι ἀπεδίδοτο τὰς ἀρχὰς σφίσι 5
10 χρημάτων μεγάλων. σώφρονι γὰρ ἀνδρὶ ἢ ξυνέσεως
ὁπωστιοῦν μεταλαχόντι ἔννοια οὐδεμία ἐγένετο χρή-
ματα οἰκεῖα προΐεσθαι, ἐφ' ᾧ δὴ τοὺς οὐδὲν ἠδικη-
11 κότας ληΐζηται. τοῦτό τε τὸ χρυσίον πρὸς τῶν
ξυμβαλλόντων κεκομισμένος ἐς τὴν ἐξουσίαν αὐτοὺς 10
12 ἐνεβίβαζε τοῦ τοὺς κατηκόους πάντα ἐργάζεσθαι. ἀφ'
ὧν ἔμελλον τὰς χώρας αὐτοῖς ἀνθρώποις ἀπολοῦντες
13 ἁπάσας πλούσιοι τὸ λοιπὸν ἔσεσθαι αὐτοί. οἱ δὲ τὰς
τῶν πόλεων τιμὰς ἐπὶ τόκοις ἀδροῖς τισιν ἀπὸ τῆς
τραπέζης δεδανεισμένοι καὶ τῷ ἀποδεδομένῳ ἀπαριθμή- 15
σαντες, ἐπειδὴ ἐγίνοντο ἐν ταῖς πόλεσι, πᾶσαν κακοῦ
ἰδέαν ἐς τοὺς ἀρχομένους ἀεὶ ἐνδεικνύμενοι οὐκ ἄλλου
του ἐν ἐπιμελείᾳ καθίσταντο ⟨ἢ⟩ ὅπως τοῖς χρήσταις
τὰ ὡμολογημένα τελέσειαν καὶ αὐτοὶ τὸ λοιπὸν ἐν
τοῖς πλουσιωτάτοις τετάξονται, οὐκ ἔχοντος αὐτοῖς 20
κίνδυνόν τινα ἢ ὕβριν τοῦ ἔργου, φέροντος δέ τι καὶ
δόξης μᾶλλον, ὅσῳ καὶ πλείους τῶν σφίσι παραπεπτω-
κότων οὐδενὶ ⟨λόγῳ⟩ ἀποκτείναντες ληΐζεσθαι ἴσχυον.
14 τὸ γὰρ τοῦ φονέως τε καὶ λῃστοῦ ὄνομα ἐς τὸ τοῦ
15 δραστηρίου αὐτοῖς ἀποκεκρίσθαι ξυνέβαινεν. ὅσους 25

---

3 ἀρχῆς *PS*] γῆς *G* | ὁ *GP*] om. S ‖ 4 τῶν *G*] om. *PS* ‖ 5 ante διεφθάρθαι videtur aliquid excidisse. Reiske ‖ 9 ληΐζηται Alem.] ληίζεται codd. ‖ 11 ἐνεβίβαζε] βεβίβαζε *S* | πάντα *PS*] πάντας *G* ‖ 12 αὐτοῖς ἀνθρώποις Alem.] αὐτῶν ἄνθρωποι οἱ codd. ‖ 16 ἐγένοντο *G* ‖ 18 ⟨ἢ⟩ addidit Alem.] om. codd. ‖ 20 τετάξονται Dind.] τετάξωνται codd. ‖ 21 τι *PS*] τοι *G* ‖ 23 οὐδενὶ ⟨λόγῳ⟩ Alem. ‖ 24 τε om. *P*

μέντοι τῶν ἐχόντων ἀρχὰς ᾔσθετο πλούτῳ ἀκμάζοντας, τούτους δὴ σκήψεσι σαγηνεύσας εὐθὺς ἅπαντα συλλήβδην ἀφῃρεῖτο τὰ χρήματα.

Μετὰ δὲ νόμον τοὺς τὰς ἀρχὰς ἔγραψε μετιόντας 16
5 ὀμνύναι ἦ μὴν καθαροὺς ἀπὸ πάσης κλοπῆς σφᾶς αὐτοὺς ἔσεσθαι, καὶ μήτε τι δώσειν τῆς ἀρχῆς ἕνεκα B 121 μήτε λήψεσθαι. ἀράς τε πάσας ἐπέβαλεν, ὅσαι πρὸς 17 τῶν παλαιοτάτων ὠνομασμέναι εἰσὶν, ἤν τις τῶν γεγραμμένων ἐκβαίη. ἀλλὰ τοῦ νόμου τεθέντος οὔπω 18
10 ἐνιαυτὸν αὐτὸς μὲν τῶν γεγραμμένων καὶ κατηραμένων ὀλιγωρήσας καὶ τῆς ὑπὲρ τούτων αἰσχύνης, ἀδεέστερον τὰ τιμήματα τῶν ἀρχῶν οὐκ ἐν παραβύστῳ, ἀλλ' ἐς τὸ δημόσιον τῆς ἀγορᾶς ἔπραττεν. οἱ δὲ τὰς ἀρχὰς 19 □ ὠνημένοι διώμοτοι μᾶλλον ἢ πρότερον πάντα ἐσύλων. □

15 Ὕστερον δὲ καὶ ἄλλο τι ἐπετεχνήσατο ἀκοῆς κρεῖσσον. 20 τῶν ἀρχῶν, ἅσπερ ἀξιωτάτας ἔν τε Βυζαντίῳ καὶ πόλεσι ταῖς ἄλλαις ᾤετο εἶναι, οὐκέτι ἀπεμπολεῖν ἔγνω ᾗπερ τὰ πρότερα, μισθωτοὺς δὲ διερευνώμενος ἐχειροτόνει, τάξας αὐτοῖς ὅ τι δὴ μισθαρνοῦντας ἀπο- □
20 φέρειν αὐτῷ τὰ φώρια πάντα. οἱ δὲ τὴν μίσθωσιν 21 □ κεκομισμένοι ἀδεέστερον ξυμφορήσαντες ἐκ πάσης γῆς ἅπαντα ἔφερον καὶ περιήρχετο μισθοφόρος ἐξουσία τῷ τῆς ἀρχῆς ὀνόματι καταληϊζομένη τοὺς ὑπηκόους. οὕτως ὁ βασιλεὺς ἀκριβολογούμενος τὸν ἅπαντα χρό- 22

5 Nov. 8 cap. 7

1 πλούτω *GP*] πλοῦτον *S* ‖ 2 δὴ *S*] δὲ *GP* | ἅπαντα Alem.] ἅπαντας codd. ‖ 5 σφᾶς om. *P* ‖ 8 παλαιοτάτων] παλαμναιοτάτων *S* ‖ 14 πρότερον *GP*] πρότεροι *S* ‖ 15—16 κρεῖττον *P* ‖ 16 τῶν] τῶν ⟨γὰρ⟩ Wahler ‖ 19 ὅ τι codd.] ἅτε Piccolos, Kraš., frustra ‖ 19 δὴ μισθαρνοῦντας Alem.] διαμισθαρνοῦντας codd. ‖ 20 φώρια Piccolos] χώρια codd.

νον ἐκείνους ἐφίστη τοῖς πράγμασιν οἳ δὴ πάντων
κατὰ τὸν ἀληθῆ λόγον μιαρώτατοι ἦσαν, ἀεί τε τὸ
23 P 62 κακὸν τοῦτο ἰχνηλατῶν κατετύγχανεν. ἡνίκα οὖν ἀμέλει
τοὺς πρώτους πονηροὺς ἐπὶ τῆς ἀρχῆς κατεστήσατο ἐς
φῶς τε αὐτῶν ἡ τῆς δυνάμεως ἐξουσία τὴν κακοτρο- 5
πίαν ἐξήνεγκεν, ἐθαυμάζομέν γε ὅπως δὴ κακότητα
24 τοσαύτην ἀνθρώπου φύσις ἐχώρησεν. ἐπεὶ δὲ αὐτοὺς
οἱ χρόνῳ τῳ ἀρχὰς ἐκδεξάμενοι πολλῷ τῷ περιόντι
παρελᾶν ἴσχυσαν, διηποροῦντο πρὸς ἀλλήλους οἱ
ἄνθρωποι ὅντινα τρόπον οἱ πρόσθεν πονηρότατοι 10
B 122 δόξαντες τοσούτῳ παραλόγῳ ἅτε αὐτοὶ καλοὶ καὶ
ἀγαθοὶ γεγονότες ἐν τοῖς σφετέροις ἐπιτηδεύμασι, πρὸς
τῶν ἐπιγενομένων ἡσσήθησαν, αὖθίς τε οἱ τρίτοι τοὺς
δευτέρους ὑπερηκόντισαν πονηρίᾳ τῇ πάσῃ, καὶ μετ᾽
ἐκείνους ἕτεροι τοῖς τῶν ἐγκλημάτων καινοτομήμασιν 15
25 ὄνομα χρηστὸν τοῖς φθάσασι προσετρίψαντο. μηκυνο-
μένου τε τοῦ κακοῦ πᾶσιν ἐκμεμαθηκέναι τῷ ἔργῳ
ξυνέβη ὅτι δὴ τοῖς ἀνθρώποις ἐπ᾽ ἄπειρον μὲν ἡ πο-
νηρία φύεσθαι εἴωθε, μαθήσει δὲ τῶν προγεγενη-
μένων ἐκτρεφομένη καὶ τῇ τῆς παρρησίας ἐξουσίᾳ ἐς 20
τὸ λυμαίνεσθαι τοῖς παραπίπτουσιν ἐξαγομένη ἐς το-
σόνδε ἀεὶ ἐξικνεῖσθαι δοκεῖ ἐς ὅσον δύναται ἡ τῶν
βλαπτομένων σταθμᾶσθαι δόξα.

26 Ῥωμαίοις μὲν οὖν τά γε ἀμφὶ τοῖς ἄρχουσι ταύτῃ
πῃ εἶχε. Πολλάκις δὲ καὶ Οὔννων πολεμίων στρατῷ 25
ἀνδραποδίσασί τε καὶ ληϊσαμένοις τὴν Ῥωμαίων ἀρχὴν

---

6 κακότητα] malim ⟨ἐς⟩ κακότητα || 7 ἐχώρησε *P* || 10 πονηρώτατοι *G* || 13 ἐπιγενομένων *PS*] ἐπιγενησομένων *G* || 14 ὑπερηκόντησαν *G* || 15 καινοτομήμασιν] παρανομήμασιν *S* pr. m. || 17 τῷ ἔργῳ τούτῳ *S* || 20 παρρησίας *P*] παρησίας *S*, παρουσίας *G* || 25 οὔνων *G*

οἱ Θρᾳκῶν τε καὶ Ἰλλυριῶν στρατηγοὶ βεβουλευμένοι
ἀναχωροῦσιν ἐπιθήσεσθαι ἀπεπήδησαν, ἐπεὶ βασιλέως
Ἰουστινιανοῦ γράμματα εἶδον, ἀπεροῦντα σφίσι τὴν
ἐς τοὺς βαρβάρους ἐπίθεσιν, ἀναγκαίων αὐτῶν ἐς
5 ξυμμαχίαν Ῥωμαίοις ὄντων ἐπὶ Γότθους ἴσως ἢ ἐπὶ
ἄλλους πολεμίων τινάς. καὶ ἀπ' αὐτοῦ οἱ βάρβαροι 27
οὗτοι ἐληΐζοντο μὲν ὡς πολέμιοι καὶ ἠνδραποδίζοντο
τοὺς τῇδε Ῥωμαίους, ξὺν δὲ τῇ ἄλλῃ λείᾳ καὶ τοῖς
αἰχμαλώτοις ἅτε φίλοι καὶ ξύμμαχοι Ῥωμαίοις ὄντες
10 ἐπ' οἴκου ἀπεκομίζοντο. πολλάκις δὲ καὶ γεωργῶν 28
τῶν ἐνταῦθά τινες, παίδων τε σφετέρων καὶ γυναικῶν
πόθῳ ἐξηνδραποδισμένων ἠγμένοι, ἀθρόοι τε γεγενη-
μένοι ἀναχωροῦσι πολλοὺς ⟨ἐτύγχανον⟩ κτείναντες, □
καὶ αὐτῶν τοὺς ἵππους ἴσχυσαν ξὺν πάσῃ ἀφελέσθαι B 123
15 τῇ λείᾳ, πραγμάτων μέντοι ἐς πεῖραν ἦλθον ἐνθένδε
δυσκόλων. ἐκ Βυζαντίου γάρ τινες ἐσταλμένοι αἰκί- 29
ζεσθαί τε αὐτῶν καὶ λωβᾶσθαι τὰ σώματα καὶ χρή-
μασι ζημιοῦν οὐδεμιᾷ ὀκνήσει ἠξίουν, ἕως τοὺς ἵππους
ἅπαντας δοῖεν οὕσπερ τοὺς βαρβάρους ἀφείλοντο.

20 κβ'. Ἡνίκα δὲ βασιλεύς τε καὶ Θεοδώρα τὸν Καπ- P 63
παδόκην Ἰωάννην ἀνεῖλον, ἀντικαθιστάναι μὲν ἐς τιμὴν
τὴν αὐτοῦ ἤθελον, ἄνδρα δέ τινα πονηρότερον εὑρεῖν □
ἐπὶ κοινῆς ἐν σπουδῇ ἐποιοῦντο, περισκοπούμενοί τε
τὸ τοιοῦτο τῆς τυραννίδος ὄργανον καὶ πάσας διερευ-
25 νῶντες τὰς τῶν ἀνθρώπων γνώμας, ὅπως ἔτι θᾶσσον

2 ἀπεπήδησαν Herw.] ἀνεπήδησαν codd. ‖ 3 ἀπεροῦντα Alem.] ἅπερ οὖν τὰ codd. ‖ 8 ξὺν δὲ] ξύν τε Reiske ‖ 11 τε σφετέρων *PS*] τε·καὶ σφετέρων *G* ‖ 12—13 γεγενημένοι codd.] ἐπιθέμενοι Reiske ‖ 13 ἀναχωροῦντας Alem. | ⟨ἐτύγχανον⟩ addidi | κτείναντες] ἔκτεινάν τε Kraš. ‖ 18 ζημιοῦν Alem.] ζημίαν codd. ‖ 19 ἅπαντες *S* | ⟨ἀπο⟩δοῖεν Herw. ‖ 22 ἤθελον] ⟨ἄλλον⟩ addendum conic. Alem. ‖ 23 ἐν σπουδῇ *PS*] om. *G* ‖ 24 καὶ πάσας *P*] ἁπάσας *GS*

2 τοὺς ὑπηκόους ἀπολεῖν δύνωνται. ἐν μὲν οὖν τῷ παραυτίκα Θεόδοτον ἀντ' αὐτοῦ ἐπὶ τῆς ἀρχῆς κατεστήσαντο, ἄνδρα οὐ καλοήθη μέν, οὐ σφόδρα δὲ
3 ἀρέσκειν αὐτοῖς ἱκανὸν γεγονότα. ὕστερον δὲ ἅπαν διερευνώμενοι περιήρχοντο. εὗρον δὲ παρὰ δόξαν 5 ἀργυραμοιβόν τινα Πέτρον ὀνόματι, Σύρον γένος, ὅνπερ ἐπίκλησιν Βαρσύμην ἐκάλουν· ὃς πάλαι μὲν ἐπὶ τῆς τοῦ χαλκοῦ τραπέζης καθήμενος κέρδη αἰσχρότατα ἐκ ταύτης δὴ ἐπορίζετο τῆς ἐργασίας, τὴν περὶ τοὺς ὀβολοὺς κλοπὴν εὖ μάλα τεχνάζων καὶ τοὺς αὐτῷ 10 ξυμβάλλοντας ἀεὶ τῷ τῶν δακτύλων τάχει ἐκκρούων.
4 δεξιὸς γὰρ ἦν κλέψαι μὲν τὰ τῶν αὐτῷ περιπεπτωκότων ἀνέδην, ἀλοὺς δὲ ὀμόσαι καὶ τῶν χειρῶν τὸ ἁμάρ-
5 τημα τῷ τῆς γλώττης περικαλύψαι θράσει. ἐν δὲ τοῖς τῶν ὑπάρχων στρατιώταις καταλεχθεὶς ἐς τοσοῦτον 15
B 124 ἀτοπίας ἐλήλακεν ὥστε Θεοδώρᾳ ἀρέσκειν τε ἐν τοῖς μάλιστα καὶ ἐς τῶν ἀδίκων αὐτῇ βουλημάτων ῥᾷστα
6 ὑπουργεῖν τὰ ἀμήχανα. διὸ δὴ Θεόδοτον μέν, ὅνπερ

5—12 εὗρον δὲ—κλέψαι] ἐπὶ Ἰουστινιανοῦ Πέτρος τις ἦν Βαρσύμης οὕτω καλούμενος, ὃς ἐπὶ τῆς τραπέζης κτλ. Suid. s. v. δεξιός ‖ 1—135, 6 ἐν μὲν—προὔθηκεν] οὗτος ἐπὶ Ἰουστινιανοῦ ὕπαρχος ἦν, ὃν παραλύσας τῆς ἀρχῆς Πέτρον ἐπέστησε, Βαρσυάμην καλούμενον, ὃς πάλαι μὲν — ἀμήχανα, τούς τε στρατευομένους — ἁπάσας καὶ ὠνίους τὰς ἀρχὰς ἔτι μᾶλλον ἢ πρότερον προθήσας Suid. s. v. Θεόδοτος ‖ 6 Mal. 491, 6. Georg. Cod. de aed. *C P* 114, 9

1 τῷ] τὸ *G* ‖ 3 κατεστήσαντο, ἄνδρα *P*, Kraš.] κατέστησαν, τὸν ἄνδρα *G S* ‖ 5 δὲ codd.] τε Kraš. ‖ 6 ἀργυραμοιβόν *P*, Dind.] ἀργυραμειβόν *G S* | τινα *P S*] τε *G* | ὀνόματι] malim ὄνομα ‖ 7 Βαρσύμην Alem., Suid.] βαρσυάμην codd. ‖ 8—9 αἰσχρὰ ἐπορίζετο ἐκ ταύτης τ. ἐργ. Suid. ‖ 11 συμβάλλοντας *S* | τῷ τῶν δακτύλων om. Suid. s. v. δεξιός ‖ 12 μὲν τὰ Alem.] μετὰ codd. et Suid. ‖ 13 ἀνέδην Bernhardy, ἀναίδην codd. ‖ 15 στρατιώταις] στρατηγοῖς Suid. ‖ 16 Θεοδώρᾳ] τῷ βασιλεῖ Suid. | τε ἐν τοῖς] ἐς τὰ Suid. ‖ 17 αὐτῇ] αὐτῷ Suid. | βουλευμάτων Suid. ‖ 18 Θεόδοτος *S*

μετὰ τὸν Καππαδόκην καταστησάμενοι ἔτυχον, τῆς τιμῆς αὐτίκα παρέλυσαν, Πέτρον δὲ ταύτῃ ἐπέστησαν, ὅσπερ αὐτοῖν διεπράξατο κατὰ νοῦν ἅπαντα. τούς τε 7 γὰρ στρατευομένους ἀποστερῶν τὰς συντάξεις ἁπάσας
5 οὔτε αἰσχυνθεὶς οὔτε δείσας πώποτε ὤφθη, ἀλλὰ καὶ ὠνίους τὰς ἀρχὰς ἔτι μᾶλλον ἢ πρότερον προὔθηκεν, ἀτιμοτέρας τε αὐτὰς καταστησάμενος ἀπεδίδοτο τοῖς ταύτην δὴ οὐκ ἀποκνοῦσι τὴν ἀνοσίαν ἐμπορίαν ἐργάζεσθαι, ἐφιεὶς διαρρήδην τοῖς τὰς ἀρχὰς ὠνησα-
10 μένοις ταῖς τῶν ἀρχομένων ψυχαῖς τε καὶ οὐσίαις ᾗ βούλοιντο χρήσασθαι. αὐτῷ τε γὰρ εὐθὺς καὶ τῷ 8 τῆς ἀρχῆς καταβεβληκότι τὸ τίμημα ἡ τοῦ συλᾶν τε καὶ ἄλλως ἁρπάζειν ἐξουσία ξυνέκειτο. καὶ προῄει μὲν ἐκ τοῦ κεφαλαίου τῆς πολιτείας ἡ τῶν βίων ὠνή,
15 ἐπράττετό τε τὸ συμβόλαιον τῆς τῶν πόλεων διαφθορᾶς 9 ἔν τε τῶν δικαστηρίων τοῖς προὔχουσι καὶ τῷ δημοσίῳ τῆς ἀγορᾶς περιήρχετο λῃστὴς ἔννομος, ὄνομα τῇ πράξει τιθεὶς τὴν συλλογὴν τῶν ἐπὶ τοῖς τιμήμασι P 64 τῆς ἀρχῆς καταβεβλημένων χρημάτων, οὐκ ἐχούσης
20 τινὰ ἐλπίδα τῆς τῶν ἁμαρτανομένων ἐπιστροφῆς. καὶ 10 πάντων δὲ τῶν τῇ ἀρχῇ ὑπηρετούντων, πολλῶν τε καὶ δοκίμων ὄντων, τοὺς πονηροτάτους ἀεὶ ἐς αὐτὸν

4—5 ἀποστερῶν—αἰσχυνθεὶς] ἀποστερῶν τὰς συντάξεις ἁπάσας οὐκ ᾐσχύνετο Suid. s. v. σύνταξις

8 ἀποκνοῦσιν G || 8—9 ἐμπορίαν ἐργάζεσθαι S] ἐμπορίζεσθαι πρᾶξιν G, ἐμπορείαν ἐργάζεσθαι P || 10 ᾗ] εἰ S || 12 ἀρχῆς scripsi] χώρας codd. || 14 ἐκ τοῦ κεφαλαίου τ. πολ.] id est Βυζαντίου, Iustiniani Reiske, praefecti praetorii vel imperatoris Maltr. || 15 πόλεων Alem.] πολεμίων codd. || 17 περιήρχετο Alem.] περιῆρξε. τότε codd. || 17—18 ὄνομα τῇ πράξει P] ὄνομα τὴν πρᾶξιν G, τῇ πράξει S || 20 καὶ] ἐκ Alem. || 22 πονηροτάτους scripsi] πονηροὺς codd. cf. 130, 4.

11 εἷλκε. τοῦτο δὲ οὐκ αὐτὸς ἐξήμαρτε μόνος, ἀλλὰ καὶ
ὅσοι ταύτην πρότερόν τε καὶ ὕστερον τὴν τιμὴν ἔσχον.
12 Ἡμαρτάνετο δὲ τοιοῦτο κἀν τῇ τοῦ μαγίστρου
καλουμένου ἀρχῇ κἀν τοῖς Παλατίνοις, οἳ δὴ ἀμφί τε
B 125 τοὺς θησαυροὺς καὶ τὰ πριβᾶτα καλούμενα τό τε 5
πατριμώνιον ἐπιτελεῖν ἀεὶ τὴν ὑπουργίαν εἰώθασιν,
ἐν πάσαις τε συλλήβδην εἰπεῖν ταῖς ἐν Βυζαντίῳ καὶ
13 πόλεσι ταῖς ἄλλαις τεταγμέναις ἀρχαῖς. ἐξ οὗ γὰρ
ὅδε ὁ τύραννος τὰ πράγματα διῳκήσατο, ἐν ἀρχῇ
ἑκάστῃ τοὺς τοῖς ὑπηρετοῦσι προσήκοντας πόρους πὴ 10
μὲν αὐτὸς, πὴ δὲ ὁ τὴν τιμὴν ἔχων προσεποιοῦντο
[ἐν] οὐδενὶ λόγῳ, οἵ τε αὐτοῖς ἐπιτάττουσιν ὑπουρ-
γοῦντες πενόμενοι τὰ ἔσχατα πάντα τοῦτον τὸν χρόνον
δουλοπρεπέστατα ὑπουργεῖν ἠναγκάζοντο.

14 Σίτου δὲ πολλοῦ κομιδῇ ἐς Βυζάντιον κεκομισμένου 15
ἐσεσήπει μὲν ὁ πλεῖστος ἤδη, αὐτὸς δὲ τοῦτον πόλεσι
ταῖς ἑῴαις ἐπέβαλλε κατὰ λόγον ἑκάστῃ, καίπερ οὐκ
ἔχοντα ἐπιτηδείως ἐς βρῶσιν ἀνθρώπων, ἐπέβαλλέ τε,
οὐχ ᾗπερ ἀποδίδοσθαι τὸν κάλλιστον σῖτον εἰώθει,
ἀλλὰ καὶ πολλῷ ἀξιώτερον, ἥν τε τοῖς ὠνουμένοις 20
ἐπάναγκες χρήματα μεγάλα προεμένοις ἐπὶ τιμήμασι
φορτικωτάτοις, εἶτα τὸν σῖτον ἐς τὴν θάλασσαν ἢ ἔς
15 τινα ὑδροχόην ἀπορριπτεῖν. ἐπεὶ δὲ καὶ σίτου ἀκραιφ-
νοῦς τε καὶ οὔπω σεσηπότος μέγα τι πλῆθος ἐνταῦθα
ἀπέκειτο, καὶ τοῦτο πλείστων τῶν πόλεων ταῖς σίτου 25

3—4 τῇ τοῦ μαγίστρου καλ. ἀρχῇ] cf. Cassiod. Var. VI 6

3 τοῦ *G P*] om. *S* ‖ 6 πατριμώνιον Kraš.] πατριμόνιον codd. ‖ 10—11 πὴ—πὴ Dind.] πῇ—πῇ codd. ‖ 12 ἐν *G P S*] om. a et Alem. ‖ 15 κομιδῇ om. *P* ‖ 18 ἐπέβαλε *S* ‖ 23 ὑδροχόην Alem.] ὑδροχόαν codd. ‖ 24 οὔπω *G P*] οὕτω *S* ‖ 25 πλείστων *G P*, *S* pr. m. corr.] πλεῖστον *S* pr. m., πλείσταις edd. cum Alem. | πό-λεων Alem.] πολεμίων codd.

ὑποσπανιζούσαις ἀπεμπολεῖν ἔγνω. ταύτῃ γὰρ διπλά- 16
σια τὰ χρήματα ἐποίει ἅπερ τοῖς ὑποτελέσι τὸ δημό-
σιον ὑπὲρ τοῦδε τοῦ σίτου τὰ πρότερα ἐλελόγιστο.
ἀλλ' ἐπεὶ ἐς νέωτα οὐκέτι ὁμοίως ἡ τῶν καρπῶν φορὰ 17
5 ἤκμαζεν, ἐνδεεστέρως μὲν ἢ κατὰ χρείαν ἐς Βυζάντιον □
ὁ σιταγωγὸς στόλος ἀφίκετο, Πέτρος δὲ τοῖς παροῦσι
διαπορούμενος, ⟨ἐκ τῶν⟩ ἔν τε Βιθυνίᾳ καὶ Φρυγίᾳ
καὶ Θράκῃ χωρίων πρίασθαι μέγα τι χρῆμα σίτου B 126
ἠξίου. ἦν τε ἀναγκαῖον τοῖς ταύτῃ οἰκοῦσι μέχρι 18
10 μὲν ἐς τὴν θάλασσαν πόνῳ πολλῷ τὰ φορτία φέρειν,
ἐς Βυζάντιον δὲ ξὺν κινδύνῳ αὐτὰ ἐσκομίζεσθαι καὶ
βραχέα μὲν τιμήματα δῆθεν τῷ λόγῳ πρὸς αὐτοῦ
φέρεσθαι, τὴν ζημίαν δὲ αὐτοῖς ἐς τοσόνδε μεγέθους
καθίστασθαι ὥστε ἀγαπᾶν ἤν τις αὐτοὺς ἐῴη τόν τε
15 σῖτον οἴκῳ δημοσίῳ χαρίζεσθαι καὶ τίμημα ἕτερον ὑπὲρ □
αὐτοῦ κατατιθέναι. τοῦτό ἐστι τὸ ἄχθος ὅπερ καλεῖν 19
συνωνὴν νενομίκασιν. ἐπεὶ δὲ οὐδ' ὣς σῖτος ἐν Βυ-
ζαντίῳ κατὰ τὴν χρείαν ἱκανὸς ἐγεγόνει, πολλοὶ τὸ
πρᾶγμα ἐς βασιλέα διέβαλλον. ἅμα δὲ καὶ οἱ στρα- 20 □
20 τευόμενοι σχεδόν τι ἅπαντες ἅτε τὰς εἰωθυίας οὐ
κεκομισμένοι ξυντάξεις, θορύβῳ τε ἀνὰ τὴν πόλιν καὶ

5—17 ἐνδεεστέρως—νενομίκασιν] ὅτι ἐπὶ Ἰουστινιανοῦ ἡ τοῦ σίτου φορὰ ἐσπάνιζε, καὶ ἐνδεεστέρως ἢ κατὰ τὴν χρείαν ὁ σιτ. στόλος ἀφίκετο . ἀπορούμενος δὲ τοῖς παροῦσιν ἔν τε κτλ. Suid. s. v. συνωνή ‖ 17 συνωνὴν] cf. Ioannes Lydus 264, 7

2 ἅπερ codd.] ἥπερ edd. cum Alem. ‖ 3 τοῦδε *PS*] τοῦτο δὲ *G* ‖ 5 ἤκμαζεν Alem.] ἢ ἀκμάζειν codd. | τὴν χρειαν *G* ‖ 7 ⟨ἐκ τῶν⟩ addidit Alem.] om. codd. et. Suid. ‖ 7—8 καὶ θράκῃ καὶ φρυγία *S* ‖ 8 πρίασθαι Maltr.] πειρᾶσθαι codd. et Suid. ‖ 10 εἰς *S* et Suid. | θάλατταν *S* ‖ 11 αὐτὰ] ταῦτα Suid. ‖ 14 ἢν *G* pr. m., *PS*, εἴ *G* corr. ‖ 15 οἴκω codd.] οἴκοθεν τῷ Suid., τῷ Dind., οἴκοι τῷ Kraš., utrumque frustra ‖ 16 ἄχθος] malim ἄγος ‖ 16—17 καλεῖν συνωνὴν Maltr.] καλεῖν συνωνεῖν codd., συνωνὴν καλεῖν Suid. ‖ 20 τι *G*] om. *PS* ‖ 21 τὴν om. *P*

21 ταραχῇ πολλῇ εἴχοντο. βασιλεὺς μὲν οὖν ἤδη τε αὐτῷ χαλεπῶς ἔχειν ἔδοξε καὶ παραλύειν αὐτὸν τῆς
P 65 ἀρχῆς ἤθελε διά τε ταῦτα ἅπερ ἐρρήθη καὶ ὅτι χρήματα δαιμονίως μεγάλα ἠκηκόει αὐτῷ ἀποκεκρύφθαι,
22 ἅπερ ἐκ τοῦ δημοσίου σεσυληκὼς ἔτυχε. καὶ ἦν δὲ 5 οὕτως. Θεοδώρα δὲ τὸν ἄνδρα οὐκ εἴα. ἐκτόπως γὰρ τὸν Βαρσύμην ἠγάπα, ἐμοὶ μὲν δοκεῖ, τῆς τε πονηρίας ἕνεκα καὶ τοῦ τοῖς κατηκόοις διαφερόντως
23 λυμαίνεσθαι. αὐτή τε γὰρ ὠμοτάτη ἦν καὶ ἀπανθρωπίας ἀτεχνῶς ἔμπλεως καὶ τοὺς ὑπουργοῦντας ἠξίου 10 τὰ ἐς τὸν τρόπον αὐτῇ ἐπιτηδείως ὡς μάλιστα ἔχειν.
24 φασὶ δὲ αὐτὴν καὶ καταμαγευθεῖσαν πρὸς τοῦ Πέτρου
25 ἀκούσιον αὐτῷ εὐνοϊκῶς ἔχειν. περί τε γὰρ τοὺς φαρμακέας καὶ τὰ δαιμόνια περιέργως ἐσπουδάκει ὁ Βαρσύμης οὗτος, καὶ τοὺς καλουμένους Μανιχαίους 15 ἐτεθήπει τε καὶ αὐτῶν προστατεῖν ἐκ τοῦ ἐμφανοῦς
26 οὐδαμῇ ἀπηξίου. καίτοι καὶ ταῦτα ἡ βασιλὶς ἀκού-
B 127 σασα οὐ μεθῆκε τὴν ἐς τὸν ἄνθρωπον εὔνοιαν, ἀλλὰ μᾶλλον ἔτι διὰ ταῦτα περιστέλλειν τε καὶ ἀγαπᾶν
27 ἔγνω. μάγοις τε γὰρ καὶ φαρμακεῦσι καὶ αὐτὴ ὁμι- 20 λήσασα ἐκ παιδὸς ἅτε τῶν ἐπιτηδευμάτων αὐτὴν ἐς τοῦτο ἀγόντων διεβίω πιστεύουσά τε τῷ πράγματι
28 τούτῳ καὶ αὐτῷ τὸ θαρσεῖν ἐς ἀεὶ ἔχουσα. λέγεται δὲ καὶ τὸν Ἰουστινιανὸν οὐ τοσοῦτον θωπεύουσα χειροήθη ποιήσασθαι, ὅσον τῇ ἐκ τῶν δαιμονίων 25
29 ἀνάγκῃ. οὐ γάρ τις ἦν εὔφρων ἢ δίκαιος ὅδε ἀνὴρ ἢ ἐς τὸ ἀγαθὸν βέβαιος, ὥστε κρείσσων ποτὲ τῆς

3 ὅτι *G P*] ἅπερ *S* ‖ 7 μὲν *P S*] δὲ *G* ‖ 9 αὐτή *P S*] αὕτη *G* ‖ 11 ὡς μάλιστα ἐπιτηδείως *G* ‖ 15 μανιχαίους *G P*] om. *S* ‖ 16 ἐτεθήπει Alem.] ἐτέθη. ἐπεὶ codd. ‖ 22 διεβίου *S* ‖ 23 λέγεται *P S*] λέγουσι *G* ‖ 24 οὐ *G P*] εἰς *S*

τοιαύτης ἐπιβουλῆς εἶναι, ἀλλὰ φόνων μὲν καὶ χρη-
μάτων ἔρωτος διαφανῶς ἥσσων, τοῖς δὲ αὐτὸν ἐξαπα-
τῶσι καὶ κολακεύουσιν οὐ χαλεπῶς εἴκων. ἔν τε 30
πράξεσι ταῖς μάλιστά οἱ ἐσπουδασμέναις μετεβάλλετό
5 τε οὐδενὶ λόγῳ καὶ κονιορτῷ ἐνδελεχέστατα ἐμφερὴς
ἐγεγόνει. ταῦτά τοι οὐδέ τις τῶν αὐτοῦ ξυγγενῶν ἢ 31
ἄλλως γνωρίμων ἐλπίδα τινά ποτε ἀσφαλῆ ἐπ' αὐτῷ
ἔσχεν, ἀλλὰ μεταναστάσεις αὐτῷ ἐς ἀεὶ τῆς ἐς τὰ ἐπι-
τηδεύματα ἐγίνοντο γνώμης. οὕτω τε καὶ τοῖς φαρ- 32
10 μακεῦσιν, ὅπερ ἐρρήθη, εὐέφοδος ὢν καὶ τῇ Θεοδώρᾳ
πόνῳ οὐδενὶ ὑποχείριος ἐγεγόνει, καὶ ἀπ' αὐτοῦ μά-
λιστα ἡ βασιλὶς ἅτε σπουδαῖον τὰ τοιαῦτα τὸν Πέτρον
ὄντα ὑπερηγάπα. ἀρχῆς μὲν οὖν ἧς τὰ πρότερα εἶχε 33
βασιλεὺς αὐτὸν παρέλυσε μόλις, Θεοδώρας δὲ ἐγκει-
15 μένης. οὐ πολλῷ ὕστερον ἄρχοντα τῶν θησαυρῶν
αὐτὸν κατεστήσατο, Ἰωάννην παραλύσας ταύτης δὴ
τῆς τιμῆς, ὅσπερ αὐτὴν παρειληφὼς μησί που ὀλίγοις
πρότερον ἔτυχεν. ἦν δὲ οὗτος ἀνὴρ γένος μὲν Πα- 34
λαιστῖνος, πρᾷος δὲ καὶ ἀγαθὸς ἄγαν, καὶ οὔτε πορί-
20 ζεσθαι χρημάτων ἀδίκων πόρους εἰδώς, οὔτε τῳ λυμη-
νάμενος πώποτε τῶν πάντων ἀνθρώπων. ἀμέλει καὶ 35 B 128
διαφερόντως ἠγάπων αὐτὸν ὁ λεὼς ἅπας. διά τοι
τοῦτο Ἰουστινιανόν τε καὶ τὴν ὁμόζυγα οὐδαμῇ ἤρεσκεν,
οἵπερ ἐπειδὴ τῶν σφίσιν ὑπουργούντων καλόν τε καὶ
25 ἀγαθὸν παρὰ δόξαν τινὰ ἴδοιεν, ἰλιγγιῶντες καὶ δυσφο-

4—5 *μετεβάλλετό τε G P*] *μετέβαλε τότε S* ‖ 6 *ἢ*] *οὐδὲ τῶν P* ‖ 8 *τῆς* om. *S* ‖ 9 *ἐγίγνοντο S* ‖ 10 *ἐρρέθη* codd., corr. Alem. ‖ 12 *τὸν P S*] om. *G* ‖ 14 *αὐτὸν* om. *P* | *δὲ* Kraš.] *τε* codd. ‖ 16 *παραλύσας* Alem.] *παραλύσασα* codd. ‖ 18 *οὗτος* ⟨*ὁ*⟩ Dind. ‖ 18—19 *γένος μὲν Παλαιστῖνος* Alem.] *γενόμενος μὲν παλαιστιναῖος* codd. ‖ 19—20 *οὔτε—οὔτε* conicit Kraš.] *οὐδὲ—οὐδὲ* codd. ‖ 20 *ἀδίκων* scripsi] *ἰδικῶν* codd., cf. I 217, 6 ‖ 25 *ἰλιγγιῶντες* Alem.] *ἰλλιγγίων τε* codd.

ρούμενοι ἐς τὰ μάλιστα πάσῃ μηχανῇ αὐτὸν ὅτι τάχιστα διωθεῖσθαι ἐν σπουδῇ ἐποιοῦντο.

36 Οὕτω γοῦν καὶ τοῦτον τὸν Ἰωάννην ὁ Πέτρος ἐκδεξάμενος θησαυρῶν τε τῶν βασιλικῶν προὔστη καὶ
P 66 ξυμφορῶν αὖθις μεγάλων αἰτιώτατος ἅπασι γέγονεν. 5
37 ἀποτεμνόμενός γὰρ τῶν χρημάτων τὸ πλεῖστον μέρος, ἅπερ ἐν παραψυχῆς λόγῳ πολλοῖς χορηγεῖσθαι ἀνὰ πᾶν ἔτος πρὸς βασιλέως ἐκ παλαιοῦ διατέτακται, αὐτὸς μὲν τοῖς δημοσίοις οὐ δέον ἐπλούτει καὶ μοῖραν ἐν-
□ 38 θένδε βασιλεῖ ἀνέφερεν. οἱ δὲ τὰ χρήματα περιῃρη- 10
□ μένοι ἐν πένθει μεγάλῳ περιεκάθηντο, ἐπεὶ καὶ τὸ χρυσοῦν νόμισμα οὐχ ᾗπερ εἰώθει ἐκφέρειν ἠξίου, ἀλλ' ἔλασσον αὐτὸ καταστησάμενος, πρᾶγμα οὐδεπώποτε γεγονὸς πρότερον.

39 Τὰ μὲν ἀμφὶ τοῖς ἄρχουσι βασιλεῖ ταύτῃ πῃ εἶχεν. 15 ὅπως δὲ τοὺς τὰ χωρία κεκτημένους πανταχῇ διέφθειρεν
□ 40 ἐρῶν ἔρχομαι. ἀπέχρη μὲν οὖν ἡμῖν τῶν ἐς τὰς πόλεις ἁπάσας στελλομένων ἀρχόντων ἐπιμνησθεῖσιν οὐ πολλῷ πρότερον καὶ τούτων δὴ τῶν ἀνθρώπων ση-
□ μῆναι τὰ πάθη. πρώτους γὰρ οἱ ἄρχοντες οὗτοι τοὺς 20
□ τῶν χωρίων κυρίους βιαζόμενοι ἐληΐζοντο, καὶ ὡς δὲ
□ τἄλλα εἰρήσεται πάντα.

□ κγ'. Πρῶτον μὲν εἰθισμένον [ὂν] ἐκ παλαιοῦ ἕκαστον τὴν Ῥωμαίων ἀρχὴν ἔχοντα οὐχ ἅπαξ μόνον,

12 cf. II 302, 20

3 τὸν G P] om. S ‖ 5 συμφορῶν G ‖ 6 ἀποτεμόμενος P ‖ 9 οὐ δέον] οὐδὲ S ‖ 11 περιεκάθηντο] ἐκάθηντο Herw. | ἐπεὶ G P] ἐπείπερ S ‖ 12 ἠξίουν G ‖ 15 πῃ Dind., P] ποι G, ἢ S ‖ 16 πανταχῇ S] πανταχοῦ πῃ G P ‖ 17 ἡμῖν P S] ἡμῖν εἰπεῖν G | εἰς S ‖ 20 πρώτους G P] πρῶτον S | ἄρχοντες P S] ἄνθρωποι G | οὗτοι Alem.] οὕτω codd. ‖ 22 εἰρήσεται] ἃ εἴρηται Alem. ‖ 23 πρῶτον P] πρῶτα G, πρῶ^{τ} S | [ὂν] inclusi

ἀλλὰ καὶ πολλάκις τοῖς τῶν δημοσίων ὀφλημάτων B 129
λειψάνοις τοὺς κατηκόους δωρεῖσθαι πάντας, τοῦ μήτε
τοὺς ἀπορουμένους τε καὶ ὅθεν ἂν ἐκτίνοιεν τὰ λείψανα
ταῦτα οὐδαμῆ ἔχοντας διηνεκὲς ἀποπνίγεσθαι μήτε τοῖς
5 φορολόγοις σκήψεις παρέχεσθαι, συκοφαντεῖν ἐγχει-
ροῦσι τῶν τοῦ φόρου ὑποτελῶν τοὺς οὐδὲν ὀφείλον-
τας, οὗτος ἐς δύο καὶ τριάκοντα ἐτῶν χρόνον οὐδὲν
τοιοῦτο ἐς τοὺς κατηκόους εἰργάσατο. καὶ ἀπ' αὐτοῦ 2
τοῖς μὲν ἀπορουμένοις ἀναγκαῖον ἦν ἀποδρᾶναί τε καὶ
10 μηδενὶ ἔτι ἐπανιέναι. καὶ οἱ συκοφάνται τοὺς ἐπιει- 3
κεστέρους ἀπέκναιον κατηγορίαν ἐπανασείοντες ἅτε τὸ
τέλος ἐνδεεστέρως ἐκ παλαιοῦ καταβάλλοντας τῆς ἐγ-
κειμένης τῷ χωρίῳ φορᾶς. οὐ γὰρ ὅσον οἱ ταλαίπωροι 4
τὴν καινὴν τοῦ φόρου ἀπαγωγὴν ἐδεδίεσαν, ἀλλὰ καὶ
15 χρόνων τοσούτων τὸ πλῆθος οὐδὲν προσῆκον βαρύ-
νεσθαι φόροις. πολλοὶ γοῦν ἀμέλει τὰ σφέτερα αὐτῶν 5
τοῖς συκοφάνταις ἢ τῷ δημοσίῳ προέμενοι ἀπηλλάσ-
σοντο. ἔπειτα δὲ Μήδων μὲν καὶ Σαρακηνῶν τῆς 6
Ἀσίας γῆν τὴν πολλήν, τῶν δὲ δὴ Οὔννων καὶ Σκλα-
20 βηνῶν καὶ ⟨Ἀντῶν⟩ ξύμπασαν Εὐρώπην ληϊσαμένων,
καὶ τῶν πόλεων τὰς μὲν καθελόντων ἐς ἔδαφος, τὰς
δὲ ἀργυρολογησάντων ἐς τὸ ἀκριβὲς μάλιστα, τοὺς δὲ
ἀνθρώπους ἐξανδραποδισάντων ξὺν χρήμασι πᾶσιν,
ἔρημόν τε τῶν οἰκητόρων καταστησαμένων χώραν ἑκά-
25 στην ταῖς καθ' ἡμέραν ἐπιδρομαῖς, φόρον μὲν οὐδενὶ
τῶν ἁπάντων ἀφῆκε, πλήν γε δὴ ὅσον ἐνιαυτοῦ ταῖς

---

1 καὶ om. *S* ‖ 5 σκήψεις repetitum est in *S* ‖ 6 φόρου] χώρου *S* ‖ 8 τοιοῦτον *S* ‖ 9—10 καὶ μηδενὶ ἔτι] γῆν μηδενὶ ἔτι *S*, γῆν μηδενὶ ἔτει *G P*, γῆν καὶ μηκέτι Dind., γῆν καὶ μηδενὶ ἔτι Kraš. ‖ 19 γῆν τὴν] γῆν delet Reiske | οὔνων *G* ‖ 20 ⟨Ἀντῶν⟩ om. codd., ⟨Γότθων⟩ vel ⟨Ἀντῶν⟩ Alem. ‖ 21 εἰς *S* ‖ 21—22 τὰς δὲ Alem.] τῶν δὲ codd.

7 P 67 ἁλούσαις τῶν πόλεων μόνον. καίτοι εἰ καθάπερ Ἀναστά-
σιος βασιλεὺς ἑπτάετες ταῖς ἁλούσαις τὰ τέλη ἐπιχω-
□ B 130 ρεῖν ἔγνω, οἶμαι [δ'] ἂν οὐδ' ὡς αὐτὸν πεποιῆσθαι
τὰ δέοντα, ἐπεὶ Καβάδης μὲν ταῖς οἰκοδομίαις ὡς
ἥκιστα λυμηνάμενος ἀπιὼν ᾤχετο, Χοσρόης δὲ ἅπαντα 5
πυρπολήσας ἐς ἔδαφος καθεῖλε, μείζω τε προσετρίψατο
□ 8 τοῖς περιπεπτωκόσι τὰ πάθη. καὶ τούτοις μὲν τοῖς
ἀνθρώποις οἶσπερ τὸ γελοιῶδες τοῦτο τοῦ φόρου
ἀφῆκε καὶ τοῖς ἄλλοις ἅπασι, πολλάκις μὲν δεξαμένοις
τὸν Μήδων στρατὸν, διηνεκὲς δὲ Οὔννων τε καὶ [βαρ- 10
□ βάρων] Σαρακηνῶν γῆν τὴν ἑῴαν ληϊσαμένων, οὐδὲν
□ δὲ ἧσσον καὶ ⟨τῶν⟩ ἐπὶ τῆς Εὐρώπης βαρβάρων ταῦτα
ἐργαζομένων ἀεὶ καὶ καθ' ἑκάστην τοὺς ἐκείνῃ Ῥω-
□ μαίους, βασιλεὺς οὗτος χαλεπώτερος εὐθὺς γέγονε
9 βαρβάρων ἁπάντων. συνωναῖς τε γὰρ καὶ ταῖς καλου- 15
μέναις ἐπιβολαῖς τε καὶ διαγραφαῖς οἱ τῶν χωρίων
κύριοι τῶν πολεμίων ἀνακεχωρηκότων αὐτίκα μάλα
10 ἡλίσκοντο. ὅ τι δὲ τὰ ὀνόματά ἐστί τε καὶ βούλεται
ταῦτα, ἐγὼ δηλώσω.

11 Τοὺς τὰ χωρία κεκτημένους ἀναγκάζουσι τὸν Ῥω- 20
□ μαίων ἐκτρέφειν στρατὸν κατὰ τὸ μέτρον τῆς κειμένης
ἑκάστῳ φορᾶς, τιμημάτων καταβαλλομένων οὐχ ᾗπερ
ἐφίησιν ὁ παρὼν τῇ χρείᾳ καιρὸς, ἀλλ' ᾗπερ ἔξεστι
καὶ διώρισται, οὐ διερευνώμενοι δὲ, εἴπερ αὐτοῖς
□ 12 ⟨τὰ⟩ ἐπιτήδεια ἐν τῇ χώρᾳ ξυμβαίνει. περιέστηκέ τε 25

2 ἑπτάετες] cf. I 36, 10 ‖ 25 cf. Nov. 130, cap. 2

1 καίτοι *PS*] καί τι *G* ‖ 3 [δ'] seclusi ‖ 6 καθεῖλεν ἐς ἔδαφος *G* ‖ 10 οὔνων *G* ‖ 10—11 [βαρβάρων] inclusi ‖ 12 ⟨τῶν⟩ addidi ‖ 14 εὐθὺς γέγονε *GP*] ἀεὶ γέγονεν εὐθὺς *S* ‖ 15 συνωναῖς] ἢ συνωνῶν addit *S* in marg. ‖ 20 τὸν] τὸν τῶν *P* ‖ 23 ἔξεστι] ἐξετέθη Alem., frustra ‖ 24 εἴπερ *GP*] ἤπερ *S* ‖ 25 ⟨τὰ⟩ addidi

τοὺς δειλαίους τούτους ἀνάγκη τὰ μὲν ἐπιτήδεια στρατιώταις τε καὶ ἵπποις ἐσκομίζεσθαι πάντα ὠνουμένους αὐτὰ τιμημάτων πολλῶν ἐς ἄγαν ἀξιωτέρων καὶ ταῦτα ἐκ χώρας, ἂν οὕτω τύχοι, μακρὰν που οὔσης [καὶ 5 ταῦτα] ἐς τὸ χωρίον [ἀποκομίζειν], οὗ δὴ τὸ στρατόπεδον ξυμβαίνει εἶναι, μετρεῖν τε τοῖς τῶν στρατιωτῶν χορηγοῖς, οὐ καθάπερ πᾶσιν ἀνθρώποις νόμος, ἀλλ' ᾗπερ ἐκείνοις ἂν βουλομένοις εἴη. καὶ τοῦτό 13 ἐστι τὸ πρᾶγμα ὅπερ συνωνὴ καλεῖται, ἐξ οὗ δὴ ἅπα- B 131 10 σιν ἐκνενευρίσθαι τοῖς τῶν χωρίων κυρίοις ξυμβαίνει. φόρον γὰρ ἀπ' αὐτοῦ τὸν ἐπέτειον οὐχ ἧσσονα ἢ δε- 14 καπλασίονα [ἐγ]κατατιθέναι σφίσιν ἐπάναγκες, οἷς γε οὐ μόνον, ὥσπερ εἴρηται, τῷ στρατῷ χορηγεῖν, ἀλλὰ καὶ σῖτον ἐς Βυζάντιον πολλάκις διακομίζειν ταῦτα 15 πεπονθόσι ξυνέπεσεν, ἐπεὶ οὐχ ὁ Βαρσύμης καλούμενος μόνος τὸ τοιοῦτο ἄγος ἐξαμαρτάνειν τετόλμηκεν, ἀλλὰ καὶ πρότερον μὲν ὁ Καππαδόκης, ὕστερον δὲ οἱ μετὰ τὸν Βαρσύμην τοῦτο δὴ τὸ τῆς ἀρχῆς παραλαβόντες ἀξίωμα.

20 Τὰ μὲν οὖν τῆς συνωνῆς ταύτῃ πῃ ἔχει· τὸ δὲ 15 τῆς ἐπιβολῆς ὄνομα ὄλεθρός τίς ἐστιν ἀπρόοπτος ἐξαπιναίως τοῖς τὰ χωρία κεκτημένοις ἐπιγενόμενος πρόρριζόν τε αὐτοῖς ἐκτρίβων τὴν τοῦ βίου ἐλπίδα.

20—144, 6 τὸ δὲ—παντάπασι] ἐπὶ δὲ Ἰουστινιανοῦ τὸ τῆς ἐπιβολῆς ὄνομα ὄλεθρος ἦν ἀπρόοπτος—ἀπολιποῦσιν, ἢ τοὺς ἐγκειμένους σφίσι διὰ ταῦτα κακοὺς κρύπτεσθαι οὐκ ἀπηξίου φέρειν κτλ. Suid. s. v. ἐπιβολή

---

2 εἰσκομίζεσθαι S ‖ 4 χώρας μακρὰν που οὔσης, ἂν οὕτω τύχοι G | τύχῃ P ‖ 4—5 [καὶ ταῦτα] inclusit Alem. ‖ 5 [ἀποκομίζειν] inclusi ‖ 9—10 ἅπασι τοῖς τῶν χωρίων κυρίων ἐκνενευρίσθαι ξυμβ. S ‖ 12 κατατιθέναι Alem.] ἐγκατατιθέναι codd. ‖ 13 ὥσπερ εἴρηται P S] om. G | στρατῷ] στρατηγῷ P ‖ 16 τοιοῦτον S ‖ 18 μετὰ G P] περὶ S ‖ 22 ἐπιγινόμενος Suid.

16 *χωρίων γὰρ τὸ τέλος τῶν ἐρήμων τε καὶ ἀπόρων γε-*
γενημένων, ὧν δὴ τοῖς τε κυρίοις καὶ τοῖς γεωργοῖς
ἤδη τετύχηκεν ἢ παντάπασιν ἀπολωλέναι, ἢ γῆν πα-
τρῴαν ἀπολιποῦσι τοῖς ἐγκειμένοις σφίσι διὰ ταῦτα
□ □ *κακοῖς κρύπτεσθαι, οὐκ ἀπαξιοῦσιν ἐπιφέρειν τοῖς οὔπω* 5
διεφθαρμένοις παντάπασι.
17 *Τοιοῦτο μὲν καὶ τὸ τῆς ἐπιβολῆς ὄνομά ἐστιν,*
□ *ἐπιπολάσαν ὡς τὸ εἰκὸς ἐπὶ τὸν χρόνον μάλιστα τοῦτον.*
τὰ δὲ τῶν διαγραφῶν ὡς συντομώτατα φράσαντι ἀπηλ-
18 *λάχθαι τῇδέ πῃ ἔχει. ζημίαις πολλαῖς ἄλλως τε καὶ* 10
P 68 *ὑπὸ τοὺς χρόνους τούτους περιβάλλεσθαι τὰς πόλεις*
⟨ἦν⟩ ἀνάγκῃ· ὧνπερ τάς τε ἀφορμὰς καὶ τοὺς τρό-
πους ἀφίημι λέγειν ἐν τῷ παρόντι, ὡς μή μοι ὁ λόγος
□ 19 *ἀπέραντος εἴη. ταύτας οἱ τὰ χωρία ἔχοντες ⟨ἀπέτινον,*
τίμημα⟩ κατατιθέντες κατὰ λόγον τῆς ἐγκειμένης ἑκάστῳ 15
20 B 132 *φορᾶς. οὐκ ἄχρι δὲ τούτων αὐτοῖς τὸ κακὸν ἔστη,*
ἀλλὰ καὶ τοῦ λοιμοῦ ξύμπασαν περιλαβόντος τήν τε
ἄλλην οἰκουμένην καὶ οὐχ ἥκιστα τὴν τῶν Ῥωμαίων
ἀρχὴν τῶν τε γεωργῶν ἀφανίσαντος μέρος τὸ πλεῖστον,
καὶ ἀπ' αὐτοῦ ἐρήμων ὡς τὸ εἰκὸς τῶν χωρίων γεγε- 20
νημένων, οὐδεμιᾷ φειδοῖ ἐχρήσατο ἐς τοὺς τούτων
□ □ 21 *κυρίους. φόρον γὰρ τὸν ἐπέτειον οὔποτε ἀνίει πρατ-*

10—12 *ζημίαις—ἀνάγκῃ*] *καὶ τοῦτο ἐπὶ Ἰουστινιανοῦ ἐγένετο, ζημίαις πολλαῖς καθυποβάλλεσθαι τὴν πόλιν* Suid. s. v. *διαγραφή*.

---

1 *τὸ* om. Suid. ‖ 3 *ἢ παντάπασιν* om. Suid. | *ἢ* 2] *τὴν* Suid. ‖ 7 *τοιοῦτον* *P* ‖ 11 *περιβάλλεσθαι* scripsi] *περιβαλέσθαι* codd., *καθυποβάλλεσθαι* Suid. ‖ 12 ⟨*ἦν*⟩ addidit Reiske ‖ 13 *ἐν τῷ παρόντι ἀφίημι λέγειν* *S* ‖ 14—15 ⟨*ἀπέτινον, τίμημα*⟩ supplevi] om. codd., ⟨*ἔλυον*⟩ addendum putavit Alem., ⟨*ἀπεσείοντο*⟩ Reiske, cf. III 137, 15—16. 149, 19 ‖ 15 *κατὰ λόγον* Alem.] *κατ' ὀλίγον* codd. 20—21 *γεγενημένων τῶν χωρίων* *G* ‖ 21 *ἐχρήσατο* *P S*] *ἐχρήσαντο* *G* ‖ 22 *οὔποτε* scripsi] *οὐ τότε* codd., *οὐδὲ τότε* Alem. ‖ 22—145, 1 *εἰσπραττόμενος* Alem.

τόμενος οὐχ ᾗπερ ἑκάστῳ ἐπέβαλλε μόνον, ἀλλὰ καὶ
γειτόνων τῶν ἀπολωλότων τὴν μοῖραν. προσῆν δὲ 22
αὐτοῖς καὶ τἆλλα πάντα ὧνπερ ἐμνήσθην ἀρτίως ἅτε □
τοῖς τῶν χωρίων δεδυστυχηκόσι τὴν κτῆσιν ἀεὶ ἐγκει-
5 μένων, ἔτι μέντοι καὶ τοῖς μὲν στρατιώταις ἀνὰ τὰ
κάλλιστά τε καὶ τιμιώτατα δωματίων τῶν σφετέρων
ᾠκημένοις ὑπηρετεῖν, αὐτοῖς δὲ πάντα τοῦτον τὸν
χρόνον ἐν τοῖς φαυλοτάτοις τε καὶ ἀπημελημένοις τῶν
οἰκιδίων δίαιταν ἔχειν.

10 Ἅπερ ἅπαντα ὑπὸ τὴν Ἰουστινιανοῦ τε καὶ Θεο- 23
δώρας βασιλείαν τοῖς ἀνθρώποις ἀεὶ γίνεσθαι ξυνέβη,
ἐπεὶ οὔτε πόλεμον οὔτε τι ἄλλο τῶν μεγίστων κακῶν
ἐν τούτῳ δὴ τῷ χρόνῳ λελωφηκέναι τετύχηκεν. ἐπεὶ 24
δὲ δωματίων ἐμνήσθημεν, οὐδὲ τοῦτο παριτέον ἡμῖν,
15 ὅτι δὴ οἱ κεκτημένοι τὰς ἐν Βυζαντίῳ οἰκίας βαρ-
βάροις ἐνταῦθα καταλύειν παρεχόμενοι ἑπτακισμυρίοις
μάλιστα οὖσιν, οὐχ ὅπως τῶν σφετέρων ὀνίνασθαι
οὐδαμῇ εἶχον, ἀλλὰ καὶ προσετρίβοντο δυσκόλοις ἑτέροις.

κδ΄. Οὐ μὴν οὐδὲ τὰ ἐς τοὺς στρατιώτας αὐτῷ
20 εἰργασμένα σιωπῇ δοτέον, οἷς δὴ τοὺς ⟨πονηροτάτους⟩ □
ἐπέστησεν ἀνθρώπων ἁπάντων χρήματα σφᾶς ὅτι
πλεῖστα ξυλλέγειν ἐνθένδε κελεύσας, εὖ εἰδότας ὡς
μοῖρα τῶν πορισθησομένων ἡ δωδεκάτη αὐτοῖς κείσε-
ται. ὄνομα δὲ λογοθέτας αὐτοῖς ἔθετο. οἱ δὲ ἀνὰ 2 B 133
25 πᾶν ἔτος ἐπενόουν τάδε. τὰς στρατιωτικὰς συντάξεις
οὐχ ὁμοίως νόμος χορηγεῖσθαι ἐφεξῆς ἅπασιν, ἀλλὰ

19 cf. Agath. 306, 21 || 20 cf. I 217, 5 || 23 cf. Nov. 130 cap. 1

2 προσῆν δὲ Alem.] πρὸς τήνδε codd. || 4 κτῆσιν G P] κτί-σιν S || 5 ἔτι PS] ἔστι G || 14 ἐμνήσθην G || 16 ἑπτακεσμυρίοις G || 20 τοὺς ⟨πονηροτάτους⟩ Kraš.] τοὺς S, τούτους G, κακίστους vel simile Alem.

νέοις μὲν ἔτι αὐτοῖς οὖσι καὶ στρατευσαμένοις ἀρτίως ἐλάσσων ὁ πόρος, πεπονηκόσι δὲ καὶ μέσοις που ἤδη
3 καταλόγου γεγενημένοις ἐπὶ μεῖζον χωρεῖ. γεγηρακόσι μέντοι καὶ μέλλουσι τῆς στρατείας ἀφίεσθαι πολλῷ ἔτι κομπωδεστέρα ἡ σύνταξις, ὅπως αὐτοί τε τὸ λοιπὸν 5 ἰδίᾳ βιοῦντες ἐς τὸ ἀποζῆν διαρκῶς ἔχοιεν, καὶ ἐπειδὰν αὐτοῖς ξυμμετρήσασθαι τὸν βίον ξυμβαίη, παραψυχήν τινα τῶν οἰκείων ἀπολιπεῖν τοῖς κατὰ τὴν
4 P 69 οἰκίαν δυνατοὶ εἶεν. ὁ τοίνυν χρόνος τῶν στρατιωτῶν τοὺς καταδεεστέρους ἐς τῶν τετελευτηκότων ἢ τῆς 10 στρατείας ἀφειμένων τοὺς βαθμοὺς ἀεὶ ἀναβιβάζων πρυτανεύει κατὰ πρεσβεῖα τὰς ἐκ τοῦ δημοσίου συν-
5 τάξεις ἑκάστῳ. ἀλλ' οἱ λογοθέται καλούμενοι οὐκ εἴων ἐκ τῶν καταλόγων ἀφαιρεῖσθαι τὰ τῶν τετελευτηκότων ὀνόματα, καίπερ ὁμοῦ διαφθειρομένων, ἄλλως τε καὶ 15 κατὰ τοὺς πολέμους συχνοὺς γινομένους, τῶν πλείστων. οὐ μὴν οὐδὲ τοὺς καταλόγους ἔτι ἐπλήρουν, καὶ ταῦτα
6 χρόνου συχνοῦ. καὶ ἀπ' αὐτοῦ περιειστήκει τῇ μὲν πολιτείᾳ τὸν τῶν στρατευομένων ἀριθμὸν ἐνδεέστερον ἀεὶ εἶναι, τῶν δὲ στρατιωτῶν τοῖς περιοῦσι πρὸς τῶν 20 πάλαι τετελευτηκότων διωθουμένοις ἐπὶ μοίρας παρὰ τὴν ἀξίαν τῆς καταδεεστέρας ἀπολελεῖφθαι, τάς τε ξυντάξεις ἐλαττόνως ἢ κατὰ τὴν προσήκουσαν κομίζεσθαι τάξιν, τοῖς δὲ λογοθέταις διαλαγχάνειν Ἰουστι-

---

19 Agath. 305, 16

---

3 χωρεῖ Alem.] χωρεῖν codd. ‖ 4 τῆς] τὰς *G* pr. m. | στρατείας *G P*] στρατιᾶς *S* ‖ 8 ἐκ τῶν οἰκείων Alem. ‖ 11 ἀφεμένων *G* ‖ 13 οὐκ εἴων *G P*] οἰκείων *S* ‖ 15 ὀνόματα] σώματα *P* ‖ 16 πολέμους Alem.] πολεμίους codd. | τῶν delet Herw., frustra ‖ 20 δὲ *S*] om. *G P* ‖ 21 μοίρας Alem.] χεῖρας codd. | παρὰ *G P*, *S* pr. m. corr.] κατὰ *S* pr. m. ‖ 23 ἐλασσόνως *G*

νιανῷ τῶν στρατιωτικῶν χρημάτων πάντα τοῦτον τὸν
χρόνον.

Ἔτι μέντοι καὶ ἄλλαις ζημιῶν ἰδέαις πολλαῖς τοὺς 7
στρατιώτας ἀπέκναιον, ὥσπερ ἀμειβόμενοι τῶν ἐν τοῖς B 134
5 πολέμοις κινδύνων, ἐπικαλοῦντες τοῖς μὲν ὡς Γραικοὶ
εἶεν, ὥσπερ οὐκ ἐξὸν τῶν ἀπὸ τῆς ⟨Ἑλλάδος⟩ τὸ παρά-
παν τινὶ γενναίῳ γενέσθαι, τοῖς δὲ ὡς οὐκ ἐπιτε-
ταγμένον πρὸς βασιλέως σφίσι στρατεύοιντο, καίπερ
ἀμφὶ τούτῳ γράμματα βασιλέως ἐνδεικνυμένοις, ἅπερ
10 οἱ λογοθέται διαβάλλειν οὐδεμιᾷ ὀκνήσει ἐτόλμων·
ἄλλοις δὲ, ὅτι δὴ τῶν ἑταίρων ἡμέρας σφίσιν ἀπολε-
λεῖφθαί τινας ξυμβαίη. ὕστερον καὶ τῶν ἐν Παλατίῳ 8
φυλάκων τινὲς ἀνὰ πᾶσαν στελλόμενοι τὴν Ῥωμαίων
ἀρχὴν διηρευνῶντο δῆθεν τῷ λόγῳ ἐν τοῖς κατα-
15 λόγοις τοὺς ἐς τὸ στρατεύεσθαι ἐπιτηδείους ὄντας ὡς
ἥκιστα, καὶ αὐτῶν τινὰς μὲν ἅτε ἀχρείους ὄντας ἢ
γεγηρακότας ἀφαιρεῖσθαι τὰς ζώνας ἐτόλμων, οἵπερ τὸ
λοιπὸν ἐκ τῶν εὐσεβούντων ἐν τῷ δημοσίῳ τῆς ἀγορᾶς
προσαιτοῦντες τροφὴν δακρύων τε καὶ ὀλοφύρσεως
20 ἀεὶ προφάσεις τοῖς ἐντυγχάνουσιν ἐγίνοντο πᾶσι, τοὺς
δὲ λοιποὺς, ὅπως δὴ μὴ ταὐτὰ καὶ αὐτοὶ πείσωνται,
χρήματα μεγάλα ἐπράττοντο, ὥστε πάντων τοὺς στρα-
τιώτας ἅτε τρόποις ἐκνενευρισμένους πολλοῖς πτωχο-
τέρους τε γεγονέναι καὶ οὐδαμῇ ἐς τὸ πολεμεῖν προθυ-
25 μεῖσθαι ξυνέβη. ὅθεν Ῥωμαίοις καὶ τὰ ἐν Ἰταλίᾳ 9

4 ἀπέκναιον *PS*] ἐπέκναιον *G* ‖ 5 τοῖς *S*] τοὺς *G P* ‖ 6 ἀπὸ τῆς ⟨Ἑλλάδος⟩ Piccolos] ἀπὸ τῆς codd., ⟨Γραικίας⟩ vel ⟨Ἑλλάδος⟩ addidit Alem. ‖ 8 στρατεύοιντο *PS*] στρατεύεσθαι *G* ‖ 11 ἑταίρων Alem.] ἑτέρων codd. ‖ 14 διηρευνῶντω *P*, Dind.] διερευνῶντο *G S* ‖ 16 ἢ *PS*] καὶ *G* ‖ 21 ταὐτὰ *PS*] ταῦτα *G* | πείσονται Struve ‖ 22 ἐπράττοντο Alem.] ἐπράττετο codd. ‖ 22 ὥστε πάντων Isambert] οὔτε πάντων codd., οὕτω πάντως Alem., ὧν ἐπιλιπόντων Reiske

πράγματα λελύσθαι ξυνέπεσεν. οὗ δὴ Ἀλέξανδρος ὁ λογοθέτης σταλεὶς τοῖς μὲν στρατιώταις ταῦτα ἐπικαλεῖν οὐδεμιᾷ ὀκνήσει ἐθάρρει, τοὺς δὲ Ἰταλοὺς χρήματα ἔπραττε, τῶν ἐς Θευδέριχον καὶ Γότθους 10 πεπολιτευμένων ἀμύνεσθαι φάσκων. οὐ μόνοι δὲ οἱ στρατιῶται πενίᾳ τε καὶ ἀπορίᾳ πρὸς τῶν λογοθετῶν (B 135) ἐπιέζοντο, ἀλλὰ καὶ οἱ πᾶσιν ὑπηρετοῦντες τοῖς στρατηγοῖς παμπληθεῖς τε καὶ δόξῃ μεγάλοι τὰ πρότερα 11 ὄντες, λιμῷ καὶ πενίᾳ δεινῇ ἤχθοντο. οὐ γὰρ εἶχον ὅθεν τὰ εἰωθότα σφίσι ποριοῦνται.

12 Προσθήσω δέ τι τούτοις καὶ ἕτερον, ἐπεί με ὁ τῶν στρατιωτῶν λόγος ἐς τοῦτο ἄγει. οἱ Ῥωμαίων βεβασιλευκότες ἐν τοῖς ἄνω χρόνοις πανταχόσε τῶν τῆς πολιτείας ἐσχατιῶν πάμπολυ κατεστήσαντο στρα(P 70)τιωτῶν πλῆθος ἐπὶ φυλακῇ τῶν ὁρίων τῆς Ῥωμαίων ἀρχῆς, [καὶ] κατὰ τὴν ἑῴαν μάλιστα μοῖραν ταύτῃ τὰς ἐφόδους Περσῶν τε καὶ Σαρακηνῶν ἀναστέλλοντες, 13 οὕσπερ λιμιταναίους ἐκάλουν. τούτοις ⟨Ἰουστινιανὸς⟩ ὁ βασιλεὺς κατ' ἀρχὰς μὲν οὕτω δὴ παρέργως τε καὶ φαύλως ἐχρῆτο, ὥστε τεσσάρων ἢ πέντε αὐτοῖς ἐνιαυτῶν τῶν συντάξεων τοὺς χορηγοὺς ὑπερημέρους εἶναι, καὶ ἐπειδὰν Ῥωμαίοις τε καὶ Πέρσαις εἰρήνη γένοιτο,

---

1 cf. II 302, 9 ‖ 12—149, 4 οἱ Ῥωμαίων—χαρίζεσθαι] οἱ Ῥωμαίων βασιλεῖς ἐν — ἠναγκάζοντο οὗτοι χρόνου ῥητοῦ τὰς ὀφειλομένας συντάξεις μὴ λαμβάνοντες τῷ δημοσίῳ χαρίζεσθαι Suid. s. v. λιμιταναῖοι

---

1 οὗ δὴ Alem.] οὐδαμῇ codd. ‖ 10 ποριζονται S ‖ 12 τῶν ῥωμαίων P ‖ 15 τῆς] τῆς τῶν Suid. ‖ 16 [καὶ] inclusi ‖ 17 Περσῶν Suid.] ῥωμαίων GPS ‖ 18 λιμιταναίους Suid.] λιμηταναίους codd. | ⟨Ἰουστινιανὸς⟩ addidi ex Suida, qui om. ὁ βασιλεὺς ‖ 19 κατ' ἀρχὰς μὲν om. Suid. | παρέργως Suid.] περιέργως codd. | τε om. Suid. ‖ 21 τῶν om. Suid. ‖ 22 καὶ ἐπειδὰν] ἐπειδὰν δὲ Suid.

ἠναγκάζοντο οἱ ταλαίπωροι οὗτοι ἅτε καὶ ⟨αὐ⟩τοὶ τῶν ἐκ τῆς εἰρήνης ἀγαθῶν ἀπολαύσοντες χρόνου ῥητοῦ τὰς ὀφειλομένας σφίσι ξυντάξεις τῷ δημοσίῳ χαρίζεσθαι· ὕστερον δὲ καὶ αὐτὸ τὸ ⟨τῆς⟩ στρατείας ὄνομα
5 αὐτοὺς ἀφείλετο οὐδενὶ λόγῳ. τὸ λοιπὸν τὰ μὲν ὅρια 14 τῆς Ῥωμαίων ἀρχῆς φυλακτηρίων ἐκτὸς ἔμεινεν, οἱ δὲ στρατιῶται ἐξαπιναίως ἔβλεπον εἰς τῶν εὐσεβεῖν εἰωθότων τὰς χεῖρας.

Ἕτεροι στρατιῶται οὐχ ἧσσους ἢ πεντακόσιοι καὶ 15
10 τρισχίλιοι τὰ ἐξ ἀρχῆς ἐπὶ φυλακῇ τοῦ Παλατίου κατέστησαν, οὕσπερ σχολαρίους καλοῦσι. καὶ αὐτοῖς 16 συντάξεις ἀνέκαθεν πλείους ἢ τοῖς ἄλλοις ἅπασι τὸ δημόσιον ἀεὶ χορηγεῖν εἴωθε. τούτους οἱ πρότεροι μὲν ἀριστίνδην ἀπολέξαντες ἐξ Ἀρμενίων ἐς ταύτην
15 δὴ τὴν τιμὴν ἦγον. ἐξ οὗ δὲ Ζήνων τὴν βασιλείαν 17 παρέλαβε, πᾶσιν ἐξουσία ἐγένετο καὶ ἀνάνδροις καὶ B 136 ἀπολέμοις οὖσι παντάπασι τούτου δὴ τοῦ ὀνόματος ἐπιβατεύειν. προϊόντος δὲ τοῦ χρόνου καὶ ἀνδράποδα 18 κατατιθέντες τίμημα τὴν στρατείαν ὠνοῦντο ταύτην.
20 ἡνίκα τοίνυν Ἰουστῖνος τὴν βασιλείαν παρέλαβεν, οὗτος Ἰουστινιανὸς πολλοὺς ἐς τὴν τιμὴν κατεστήσατο ταύτην, χρήματα μεγάλα περιβαλόμενος. ἐπεὶ δὲ τού- 19 τοις τοῖς καταλόγοις οὐδένα ἐνδεῖν τὸ λοιπὸν ᾔσθετο,

9—13 Ἕτεροι—εἴωθε] σχολάριοι τρισχίλιοι πεντακόσιοι ἐπὶ φυλακῇ τοῦ Παλατίου ἦσαν τεταγμένοι, ἀριστίνδην ἀπολεχθέντες ἐξ Ἀρμενίων, οἷς συντάξεις ἀνέκαθεν πλείους ἢ τοῖς ἄλλοις ἅπασι τὸ δημόσιον ἐχορήγει Suid. s. v. σχολάριοι ‖ 11 Agath. 310, 2

1 καὶ ⟨αὐ⟩τοὶ Alem.] καίτοι codd. ‖ 4 ⟨τῆς⟩ addidit Kraš.‖ 5 τὸ] τό ⟨τε⟩ conic. Kraš, malim ⟨ὥστε⟩ τὸ ‖ 7 δὲ] δὲ δὴ *P* ‖ 10 Παλατίου] πάλλαντος Suid. ‖ 13 τούτους Alem.] τούτοις codd. | πρότερον *S* ‖ 15 δὲ] δὴ *S* ‖ 18 ἀνδράποδα Alem.] ἀνδραπόδοις codd. ‖ 20 ἰουστῖνος *G P*, *S* pr. m. corr.] ἰουστινιανὸς *S* pr. m. | παρέλαβε *S* ‖ 22 περιβαλλόμενος *G*

ἑτέρους αὐτοῖς ἐς δισχιλίους ἐντέθεικεν, οὕσπερ ὑπερ-
20 *αρίθμους ἐκάλουν. ἐπειδὴ δὲ αὐτὸς τὴν βασιλείαν ἔσχε, τούτους δὴ τοὺς ὑπεραρίθμους ἀπεσείσατο αὐτίκα μάλα, τῶν χρημάτων οὐδ' ὁτιοῦν ἀποδοὺς σφίσιν.*

21 *Ἐς μέντοι τοὺς ἐντὸς τοῦ τῶν σχολαρίων ἀριθμοῦ* 5
ὄντας ἐπενόει τάδε. ἡνίκα στράτευμα ἐπὶ Λιβύην ἢ Ἰταλίαν ἢ ἐπὶ Πέρσας ὡς σταλήσεται ἐπίδοξον εἴη, καὶ αὐτοῖς ⟨ὡς⟩ ξυστρατεύσουσιν ἐπήγγελλε συσκευάζεσθαι, καίπερ ἐξεπιστάμενος ἐπιτηδείως αὐτοὺς ἐς τὸ στρατεύεσθαι ὡς ἥκιστα ἔχειν, οἱ δὲ τοῦτο ἵνα μὴ 10
γένηται δείσαντες χρόνου οἱ ῥητοῦ τὰς ξυντάξεις □ *ἀφίεσαν. ταῦτα μὲν τοῖς σχολαρίοις πολλάκις ξυνη-*
22 *νέχθη παθεῖν. καὶ Πέτρος δὲ τὸν ἅπαντα χρόνον ἡνίκα τὴν τοῦ μαγίστρου καλουμένου εἶχεν ἀρχήν, ἀεὶ καθ' ἡμέραν αὐτοὺς κλοπαῖς ἀμυθήτοις ἀπέκναιε.* 15
23 *πρᾷος μὲν γὰρ ἦν καὶ ὡς ἥκιστα ὑβρίζειν εἰδώς, κλεπτίστατος δὲ ἀνθρώπων ἁπάντων καὶ ῥύπου αἰσχροῦ ἀτεχνῶς ἔμπλεως. τούτου τοῦ Πέτρου κἀν τοῖς ἔμπροσθεν λόγοις ἐμνήσθην ἅτε τὸν Ἀμαλασούνθης φόνον τῆς Θευδερίχου παιδὸς εἰργασμένου.* 20

24 *Εἰσὶ δὲ καὶ ἕτεροι τῶν ἐν Παλατίῳ πολὺ ἀξιώτεροι, ἐπεὶ καὶ πλείω τὸ δημόσιον αὐτοῖς χορηγεῖν*

1—2 *ἑτέρους—ἐκάλουν*] haec excerpsit Suid. s. v. *ὑπεράριθμος* ‖ 13—18 *καὶ Πέτρος—ἔμπλεως*] *οὗτος ἦν ἐπὶ Ἰουστινιανοῦ, ἔφθασε δὲ καὶ μέχρι Μαγίστρου γενέσθαι· ὃς ἀεὶ καὶ καθημέραν τοὺς βασιλεῖς κλοπαῖς κτλ.* Suid. s. v. *Πέτρος* ‖ 16 Ioannes Lydus 190, 14 *πρᾷος μὲν γάρ ἐστι* (sc. *Πέτρος*) ‖ 19 cf. III 100, 24

---

1 *ἐντέθεικεν* *G P*] *ἀντέθηκεν* *S* ‖ 2—3 *ἐκάλουν—ὑπεραρίθμους* *G P*] om. *S* ‖ 5 *εἰς* *P* ‖ 7 *εἴη* *G* pr. m. corr., *P S*] *ἦν* *G* pr. m. ‖ 8 ⟨*ὡς*⟩ *ξυστρατεύσουσιν* Reiske] *ξυστρατεύουσιν* codd. ‖ 9 *ἐπίτηδες* *P* ‖ 10 *οἱ δὲ* Alem.] *οὐδὲ* codd. ‖ 11 *συντάξεις* *S* ‖ 14 *καλουμένην* *S* | *ἀεὶ*] *ἀεὶ καὶ* Suid. ‖ 17 *ἁπάντων ἀνθρώπων* Suid. ‖ 21 *πολλῷ* Reiske

εἴωθεν ἅτε καὶ μείζω κατατιθεῖσι τοῦ τῆς στρατείας B 137
ὀνόματος τὰ τιμήματα, οἳ δὴ δομέστικοί τε καὶ προ-
τίκτωρες ἐπικαλοῦνται ⟨καὶ⟩ ἀνέκαθεν ἀμελέτητοί εἰσι
πολεμίων ἔργων. τάξεως γὰρ καὶ προσώπου ἕνεκα 25
5 *μόνον ἐν Παλατίῳ εἰώθασι καταλέγεσθαι. καὶ αὐτῶν* P 71
οἱ μὲν ἐν Βυζαντίῳ, οἱ δὲ ἐπί τε Γαλατίας ἐκ παλαιοῦ
καὶ χωρίων ἑτέρων ἵδρυνται. ἀλλὰ καὶ τούτους Ἰου- 26
στινιανὸς τρόπῳ ἀεὶ δεδισσόμενος τῷ εἰρημένῳ μεθ-
ίεσθαι ἠνάγκαζε τῶν προσηκουσῶν σφίσι συντάξεων.
10 *ἐν κεφαλαίῳ δὲ τοῦτο εἰρήσεται. νόμος ἦν ἀνὰ πεν-* 27
ταετηρίδα ἑκάστην τὸν βασιλέα τῶν στρατιωτῶν ἕκα-
στον δωρεῖσθαι χρυσίῳ τακτῷ. πέμποντες δὲ ἀνὰ 28
πεντάετες πανταχόσε τῆς Ῥωμαίων ἀρχῆς παρείχοντο
στατῆρας χρυσοῦς στρατιώτῃ ἑκάστῳ πέντε. καὶ τοῦτο 29
15 *οὐχ οἷόν τε ἦν μὴ πράσσεσθαι ἀεὶ μηχανῇ πάσῃ. ἐξ*
ὅτου δὲ ἀνὴρ ὅδε διῳκήσατο τὴν πολιτείαν, τοιοῦτο
οὐδὲν οὔτε διεπράξατο οὔτε ἐμέλλησε, καίπερ χρόνου
δύο καὶ τριάκοντα ἐνιαυτῶν τριβέντος ἤδη, ὥστε καὶ
λήθην τοῦ ἔργου τούτου τοῖς ἀνθρώποις γενέσθαι τινά.
20 *Τρόπον δὲ καὶ ἄλλον τῆς ἐς τοὺς κατηκόους λεη-* 30
λασίας ἐρῶν ἔρχομαι. οἱ βασιλεῖ τε καὶ ταῖς ἀρχαῖς
ἐν Βυζαντίῳ ἢ ὁπλιζόμενοι ἢ γράμματα διαχειρίζοντες
ἢ ἄλλο ὁτιοῦν ὑπηρετοῦντες τάσσονται μὲν ἐν τοῖς
καταλόγοις ἀρχὴν ἔσχατοι, προϊόντος δὲ τοῦ χρόνου
25 *ἀναβαίνοντες ἀεὶ ἐς τῶν ἀπογινομένων ἢ ὑπεξιόντων*

---

1 *κατατιθεῖσιν ὑπὲρ τοῦ* Reiske ‖ 2—3 *προτίκτορες* codd. ‖ 3 *ἐπικαλοῦνται*] *λουν* evanuit in *S* | ⟨*καὶ*⟩ *ἀνέκαθεν*] *καὶ* addidit Reiske ‖ 4 *προσώπου*] *ου* evanuit in *S* ‖ 6 *Γαλατίας* Maltr.] *γαλα̃ PS*, *γάλατας G* ‖ 9 *συντάξεων PS*] *τάξεων G* ‖ 13 *πανταχόθι S* ‖ 14 *ἑκάστω στρατιώτη P* ‖ 17 *ἐμέλλησε* Reiske] *ἐμέλησε* codd. ‖ 19 *τούτου G P*] *τοῦδε S* ‖ 19—20 *γενέσθαι. τινὰ τρόπον G P*, Kraš.

τὴν χώραν τάξεως ἕκαστοι τῆς κατ' αὐτοὺς ἐς τόδε χωροῦσιν, ἕως ἄν τις βαθμοῦ ἐπιβεβηκὼς τοῦ πρώτου
31 ἤδη ἐς τὸ τῆς τιμῆς ἀφίκηται πέρας. καὶ τοῖς ἐς τοῦτο ἀξιώματος ἥκουσι χρήματα ἐκ παλαιοῦ διατέ-
B 138 τακται τοσαῦτα τὸ πλῆθος ὥστε πλέον ἀνὰ πᾶν ἔτος 5 ἢ ἐς ἑκατὸν χρυσοῦ ἀγείρεσθαι κεντηνάρια τούτοις, <καὶ> αὐτούς τε γηροκομεῖσθαι καὶ τῶν ἄλλων πολλοὺς μετέχειν αὐτοῖς ὠφελείας ἐκ τοῦ ἐπὶ πλεῖστον τῆς ἔνθεν ξυνέβαινε, τῆς τε πολιτείας τὰ πράγματα
32 ἐπὶ μέγα εὐπορίας ἀεὶ ταύτῃ ἐχώρει. ἀλλὰ βασιλεὺς 10 ὅδε τούτων αὐτοὺς ἀποστερήσας σχεδόν τι ἁπάντων, αὐτοῖς τε καὶ τοῖς ἄλλοις ἀνθρώποις κακὰ ἤνεγκεν. ἁψαμένη γὰρ αὐτῶν ἡ πενία πρῶτον, εἶτα καὶ διὰ τῶν ἄλλων ἐχώρει, οἷς τι καὶ πρότερον ὠφελείας μετῆν.
33 καὶ ἤν τις τὴν ξυμπεπτωκυῖαν αὐτοῖς ἐνθένδε ζημίαν 15 ἐς ἔτη δύο καὶ τριάκοντα διαριθμοῖτο, εὑρήσει τὸ μέτρον ὧνπερ αὐτοὺς ἀποστερεῖσθαι ξυνέπεσε.

κε'. Τοὺς μὲν στρατευομένους οὕτως ὁ τύραννος ὅδε διεχρήσατο. ἅπερ δὲ αὐτῷ ἐς ἐμπόρους τε καὶ ναύτας καὶ βαναύσους καὶ ἀγοραίους ἀνθρώπους, δι' 20 αὐτῶν τε καὶ ἐς τοὺς ἄλλους ἅπαντας εἴργασται,
2 φράσων ἔρχομαι. πορθμὼ δύο ἑκατέρωθεν Βυζαντίου ἐστὸν, ἅτερος μὲν ἐφ' Ἑλλησπόντου ἀμφὶ Σηστόν τε καὶ Ἄβυδον, ὁ δὲ δὴ ἕτερος ἐπὶ τοῦ στόματος τοῦ

22—153, 21 πορθμὼ—προσίεσθαι] Πορθμὼ δύο ἐστόν· ὁ μὲν ἐφ' Ἑλλ. — κεκομισμένος ἤει οὐδὲν πρὸς τῶν τῆδε ναυτιλλομένων κομιζόμενος Suid. s. v. πορθμός

1 ἐς τόδε] ἐς τὸ πρόσω Reiske ‖ 2 ἕως G S] ὡς P ‖ 7 <καὶ> Reiske] om. codd. | γηρωκομεῖσθαι P S ‖ 9 τῆς ἔνθεν Alem.] τοῖς ἔνθεν codd. | τῆς τε G P] τοῖς τε S ‖ 11 τι ἁπάντων Reiske] διὰ πάντων codd., δὴ ἁπάντων Alem. ‖ 19 ὅδε P S] om. G ‖ 21 αὐτῶν τε] αὐτῶν δὲ Reiske ‖ 22 ἑκατέρωθι P ‖ 23 ἐφ'] ἀφ' S

Εὐξείνου καλουμένου Πόντου, οὗ τὸ Ἱερὸν ὀνομάζεται.
ἐν μὲν οὖν τῷ Ἑλλησπόντου πορθμῷ τελωνεῖον μὲν 3
ἐν δημοσίῳ ὡς ἥκιστα ἦν, ἄρχων δέ τις ἐκ βασιλέως
στελλόμενος ἐν Ἀβύδῳ καθῆστο, διερευνώμενος μέν, P 72
5 *ἢν ναῦς ὅπλα φέρουσα ἐς Βυζάντιον οὐ βασιλέως ἴοι*
γνώμῃ, καὶ ἤν τις ἐκ Βυζαντίου ἀνάγοιτο οὐ φερό-
μενος γράμματα τῶν ἀνδρῶν καὶ σημεῖα οἷς ἐπίκειται B 139
ἡ τιμὴ αὕτη (οὐ γὰρ θέμις τινὰ ἐκ Βυζαντίου ἀνάγε-
σθαι οὐκ ἀφειμένον πρὸς τῶν ἀνδρῶν, οἳ τῇ τοῦ
10 *μαγίστρου καλουμένου ἀρχῇ ὑπουργοῦσι) πραττόμενος*
δὲ τοὺς τῶν πλοίων κυρίους τέλος [δὲ] οὐδενὶ αἴσθη-
σιν παρεχόμενον ἀλλ' ὥσπερ τινὰ μισθὸν ὁ ταύτην
δὴ τὴν ἀρχὴν ἔχων τοῦ ἔργου τούτου λαμβάνειν ἠξίου· 4
ὁ μέντοι ἐπὶ πορθμοῦ τοῦ ἑτέρου στελλόμενος τὸν
15 *μισθὸν ἀεὶ πρὸς βασιλέως κεκομισμένος ἦν καὶ διε-*
ρευνώμενος ἐς τὸ ἀκριβὲς ταῦτά τε, ἅπερ μοι εἴρηται,
καὶ ἤν τι ἐς τοὺς βαρβάρους κομίζοιτο, οἳ παρὰ τὸν
Εὔξεινον ἵδρυνται Πόντον, ὧνπερ οὐ θέμις ἐκ Ῥω-
μαίων τῆς γῆς ἐς τοὺς πολεμίους κομίζεσθαι. οὐδὲν
20 *μέντοι ἐξῆν τῷ ἀνδρὶ τούτῳ πρὸς τῶν τῇδε ναυτιλλο-*
μένων προσίεσθαι. ἐξ οὗ δὲ Ἰουστινιανὸς τὴν βασι- 5
λείαν παρέλαβε, τελωνεῖόν τε δημόσιον κατεστήσατο

1 Ἱερὸν] Arrian. Peripl. cap. 12 ‖ 8—9 οὐ—ἀνδρῶν] cit. Suid. s. v. ἀνάγεσθαι

1 *καλουμένου* om. Suid. | *οὗ*] *ὃ* Reiske, frustra ‖ 2 *οὖν*] *δὴ* Suid. | *Ἑλλησπόντου πορθμῷ*] *Ἑλλησπόντῳ* Suid. | *τελωνεῖον* Suid.] *τελώνιον* codd. ‖ 2—3 *μὲν—ὡς*] om. Suid. ‖ 4—14 *μὲν—μέντοι*] *ἕκαστα ὁ δὲ* Suid. ‖ 5 *ναῦν* *S* ‖ 9—10 *οὐκ ἀφειμένον—ἀρχῇ*] *πρὸς τῶν ἀνδρῶν, οἳ τῇ τοῦ μαγίστρου οὐκ ἀφειμένων ἀρχῇ καλουμένου* codd., correxit et transposuit Alem. ‖ 11 [*δε*] delevit Maltr. ‖ 13—15 *δὴ τὴν—πρὸς βασιλέως* *P S*] om. *G* ‖ 14 *τὸν* om. Suid. ‖ 15 *εἴη* codd. ‖ 16 *τε* om. *G* ‖ 18 *ὧνπερ*] *ἦν γὰρ* Reiske ‖ 19 *κομίζοιτο* superscr. *εσθαι* *G* ‖ 22 *τελωνεῖον* Dind.] *τελώνιόν* codd.

ἐν πορθμῷ ἑκατέρῳ καὶ μισθοφόρους ἄρχοντας δύο
ἐς ἀεὶ πέμπων μίσθωσιν μὲν αὐτοῖς παρείχετο τὴν
ξυγκειμένην, ἐπήγγελλε δὲ χρήματά οἱ ὅτι πλεῖστα
6 ἐνθένδε ἀποφέρειν δυνάμει τῇ πάσῃ. οἱ δὲ ἄλλο
οὐδὲν ἢ εὔνοιάν οἱ τὴν ἐς αὐτὸν ἐνδείκνυσθαι ἐν 5
σπουδῇ ἔχοντες ἀπαξάπαντα πρὸς τῶν πλεόντων τὰ
τῶν φορτίων τιμήματα ληϊζόμενοι ἀπηλλάσσοντο.
7 Ἐν μὲν οὖν πορθμῷ ἑκατέρῳ ταῦτα ἐποίει· ἐν δὲ
Βυζαντίῳ ἐπενόει τάδε. τῶν τινά οἱ ἐπιτηδείων
προὐστήσατο, Σύρον μὲν γένος, ὄνομα δὲ Ἀδδαῖον, 10
ᾧ δὴ ἐπήγγελλεν ἐκ νηῶν τῶν ἐνταῦθα καταιρουσῶν
8 ὄνησίν τινά οἱ πορίζεσθαι. ὁ δὲ πλοῖα ἅπαντα τὰ
καταίροντα ἐς τὸν Βυζάντιον λιμένα οὐκέτι ἐνθένδε
ἠφίει, ἀλλὰ τοὺς ναυκλήρους ἢ τοῖς τιμήμασιν ἐζημίου
νηῶν τῶν σφετέρων ἢ ἀναφορεῖν ἔς τε Λιβύην καὶ 15
9 B 140 Ἰταλίαν ἠνάγκαζε. καὶ αὐτῶν οἱ μὲν οὔτε ἀντιφορ-
τίζεσθαι οὔτε θαλαττουργεῖν ἔτι ἤθελον, ἀλλὰ καύ-
σαντες τὰ σφέτερα πλοῖα εὐθὺς ἄσμενοι ἀπηλλάσσοντο.
10 ὅσοις μέντοι ἐπάναγκες ἦν ἐκ ταύτης δὴ τῆς ἐργασίας
τὸν βίον ποιεῖσθαι, οὗτοι δὴ τριπλασίαν πρὸς τῶν 20
ἐμπόρων τὴν μίσθωσιν κεκομισμένοι τὸ λοιπὸν ἐφορ-
τίζοντο τοῖς τε ἐμπόροις περιειστήκει ταύτην σφίσιν
αὐτοῖς τὴν ζημίαν πρὸς τῶν τὰ φορτία ὠνουμένων
ἰάσασθαι, οὕτω τε λιμοκτονεῖσθαι πάσῃ μηχανῇ τοὺς
Ῥωμαίους ξυνέβαινεν. 25

---

10 Ἀδδαῖον] hic idem videtur esse, cuius mentionem faciunt Euagr. V 3. Niceph. Call. XVII 34. cf. Theoph. I 242, 9

---

5 οἱ om. *G P* | ἐς *P S*] ἐπ' *G* ‖ 10 Ἀδδαῖον Dind.] ἀδδεὸν codd. ‖ 12 ἅπαντα *G P*] om. *S* ‖ 13 τὸν] τὸ *G* | ἐνθένδε *P S*] om. *G* ‖ 20 δὴ scripsi] δὲ codd.

Ἀλλὰ ταῦτα μὲν τῇδε κατὰ τὴν πολιτείαν ἐφέρετο. 11
ἃ δὲ καὶ ἐς τὰ κέρματα τοῖς βασιλεῦσιν εἴργασται, οὔ
μοι παριτέον οἴομαι εἶναι. τῶν γὰρ ἀργυραμοιβῶν 12
πρότερον δέκα καὶ διακοσίους ὀβολούς, οὓς φόλλεις
5 καλοῦσιν, ὑπὲρ ἑνὸς στατῆρος χρυσοῦ προΐεσθαι τοῖς
ξυμβάλλουσιν εἰωθότων, αὐτοὶ ἐπιτεχνώμενοι κέρδη
οἰκεῖα ὀγδοήκοντα καὶ ἑκατὸν μόνους ὑπὲρ τοῦ στα-
τῆρος δίδοσθαι τοὺς ὀβολοὺς διετάξαντο. ταύτῃ δὲ
νομίσματος ἑκάστου χρυσοῦ ἑβδόμην ἀπέτεμον μοῖραν * *
10 πάντων ἀνθρώπων.

Ἐπεὶ δὲ οἱ βασιλεῖς οὗτοι τῶν ὠνίων τὰ πλεῖστα 13
⟨εἰς τὰ⟩ καλούμενα περιστήσαντες μονοπώλια, τούς τι P 73
ὠνήσασθαι βουλομένους ἀεὶ καθ' ἑκάστην ἀπέπνιγον,
μόνα δὲ αὐτοῖς ἀνέφαπτα τὰ τῆς ἐσθῆτος ἐλέλειπτο
15 πωλητήρια, μηχανῶνται καὶ ἀμφ' αὐτοῖς τάδε. ἱμάτια 14
τὰ ἐκ μετάξης ἐν Βηρυτῷ μὲν καὶ Τύρῳ πόλεσι
ταῖς ἐπὶ Φοινίκης ἐργάζεσθαι ἐκ παλαιοῦ εἰώθει. οἵ 15
τε τούτων ἔμποροί τε καὶ ἐπιδημιουργοὶ καὶ τεχνῖται
ἐνταῦθα τὸ ἀνέκαθεν ᾤκουν, ἐνθένδε τε ἐς γῆν ἅπα-
20 σαν φέρεσθαι τὸ ἐμπόλημα τοῦτο ξυνέβαινεν. ἐπεὶ 16
δὲ Ἰουστινιανοῦ βασιλεύοντος οἱ ἐπὶ ταύτῃ τῇ ἐργασίᾳ B 141

3—9 τῶν γὰρ—μοῖραν] ἐπὶ γὰρ Ἰουστινιανοῦ τοῦ βασιλέως τῶν ἀργυραμοιβῶν — διετάξατο, χρυσοῦ ἕκτην ἀποτεμόμενος μοῖραν Suid. s. v. κέρμα, ὁ Ἰουστινιανὸς τῶν ἀργυραμοιβῶν ὑπὲρ ἑνὸς — εἰωθότων δέκα καὶ διακοσίους ὀβολοὺς αὐτὸς ἐπιτεχν. — διετάξατο δίδοσθαι ὀβολούς Suid. s. v. ὀβολοῦ || 7 Mal. 486, 19

---

4 φόλεις codd. || 6 αὐτὸς ἐπιτεχνώμενος Suid. s. v. κέρματα et s. v. ὀβολοῦ || 7 ἑκατὸν] ἑκατὸν ἔτη S || 8 διετάξαντο Maltr.] διετάξατο Suid., διεπράξαντο codd. | ταύτῃ Reiske] ταύτην codd. || 10 Ante πάντων lacunam indicavit Reiske || 12 ⟨εἰς τὰ⟩ addidit Alem. || 16 βυρητῷ S pr. m. || 19 ᾤκουν] ὤκνουν G

ἔν τε Βυζαντίῳ καὶ πόλεσι ταῖς ἄλλαις ὄντες ἀξιωτέραν ἀπεδίδοντο τὴν ἐσθῆτα ταύτην, αἰτιώμενοι μεῖζον μὲν ἢ πρότερον ἐν χρόνῳ τῷ παρόντι ὑπὲρ αὐτῆς καταβάλλεσθαι τὸ τίμημα Πέρσαις, πλείω δὲ νῦν τὰ δεκατευτήρια εἶναι ἐν γῇ τῇ Ῥωμαίων, δόκησιν ἅπασιν 5 *ὁ αὐτοκράτωρ παρεχόμενος ὅτι δὴ ἐπὶ τούτῳ ἀγανακτοίη, νόμῳ ἅπασιν ἀπεῖπε μὴ πλέον ἢ ὀκτὼ χρυσῶν* 17 *τῆς τοιαύτης ἐσθῆτος τὴν λίτραν εἶναι. καὶ προστίμημα ἔκειτο τοῖς παραβησομένοις τὸν νόμον τῶν ὑπαρχόντων στερεῖσθαι χρημάτων. ταῦτα τοῖς ἀνθρώποις* 10 *ἀμήχανά τε καὶ ἄπορα ἐδόκει παντάπασιν εἶναι. οὐ γὰρ οἷόν τε ἦν τοὺς ἐμπόρους μείζονος τιμῆς τὰ φορτία ταῦτα ἐωνημένους ἐλάσσονος αὐτὰ τοῖς ξυμβάλ-* 18 *λουσιν ἀποδίδοσθαι. διὸ δὴ ταύτην μὲν τὴν ἐμπορίαν ἐργολαβεῖν οὐκέτι ἠξίουν, ἐπικλοπώτερον δὲ φορτίων* 15 *τῶν σφίσιν ἀπολελειμμένων ἐποιοῦντο κατὰ βραχὺ τὰς πράσεις, δηλονότι τῶν γνωρίμων τισὶν, οἷσπερ τὰ τοιαῦτα καλλωπίζειν τὰ σφέτερα αὐτῶν προϊεμένοις* 19 *ἐν ἡδονῇ ἦν ἢ τρόπῳ τῳ ἀναγκαῖον ἐγίνετο. ὧν δὴ ἡ βασιλὶς ἐπιψιθυριζόντων τινῶν αἰσθομένη, καίπερ* 20 *οὐ βασανίσασα τὰ θρυλλούμενα, ξύμπαντα εὐθὺς τὰ φορτία τοὺς ἀνθρώπους ἀφείλετο, καὶ χρυσίον αὐτοὺς ἐς κεντηνάριον ἐπιτιμησαμένη.* * * *ἄρχει δὲ ταύτης ἔν γε Ῥωμαίοις τῆς ἐργασίας ὁ τοῖς βασιλικοῖς ἐφεστὼς* 20 *θησαυροῖς. Πέτρον οὖν τὸν Βαρσύμην ἐπίκλησιν ἐπὶ* 25 *ταύτης καταστησάμενοι τῆς τιμῆς οὐ πολλῷ ὕστερον*

1—2 *ἀξιοτέραν* G ‖ 5 *εἶναι* om. S *τῇ* om. S 10 *τοῖς* PS] om. G 13 *ταῦτα* PS] om. G | *ἐωνημένους* Alem. *ἐωνημένοις* codd. | *αὐτὰ* PS] *τιμῆς* G ‖ 17 *οἵσπερ* Alem.] *εἴπερ* codd. ‖ 18 *σφέτερ'* G ‖ 23 Ante *ἄρχει* lacunam indicavi; excidisse puto haec fere: *ὕστερον δὲ καὶ ἐν Βυζαντίῳ οἱ βασιλεῖς οὗτοι ἱμάτια τὰ ἐκ μετάξης αὐτοὶ ἐργάζεσθαι οὐκ ἀπηξίουν* ‖ 26 *καταστησάμενος* G

ἐπεχώρουν αὐτῷ πράσσειν ἀνόσια ἔργα. τοὺς μὲν 21
⟨γὰρ⟩ ἄλλους ἅπαντας τὸν νόμον ἐς τὸ ἀκριβὲς ἐδι- □
καίου τηρεῖν, τοὺς δὲ τοῦ ἔργου τούτου τεχνίτας B 142
αὐτῷ μόνῳ ἀναγκάζων ἐργάζεσθαι ἀπεδίδοτο, οὐκέτι
5 ἐπικρυπτόμενος, ἀλλ' ἐν τῷ δημοσίῳ τῆς ἀγορᾶς βαφῆς
μὲν τῆς προστυχούσης τὴν οὐγκίαν οὐχ ἧσσον ἢ κατὰ
ἓξ χρυσῶν, βάμματος δὲ τοῦ βασιλικοῦ, ὅπερ καλεῖν
ὁλόβηρον νενομίκασι, πλέον ἢ τεσσάρων καὶ εἴκοσι
χρυσῶν. καὶ βασιλεῖ μὲν ἐνθένδε μεγάλα χρήματα 22
10 ἔφερεν, αὐτὸς δὲ περιβαλλόμενος πλείω ἐλάνθανεν,
ὅπερ ἀπ' αὐτοῦ ἀρξάμενον ἐς ἀεὶ ἔμεινε. μόνος γὰρ 23
ἐς τόδε τοῦ χρόνου ἔμπορός τε ἀπαρακαλύπτως καὶ
κάπηλος τοῦ ἐμπολήματος τοῦδε καθίσταται. ἔμποροι 24
μὲν οὖν ὅσοι πρότερον τὴν ἐργασίαν ταύτην μετῄεσαν
15 ἔν τε Βυζαντίῳ καὶ πόλει ἑκάστῃ θαλαττουργοί τε
καὶ ἔγγειοι ἐφέροντο ὡς τὸ εἰκὸς τὰ ἐκ τῆς ἐργασίας
κακά. ἐν δὲ πόλεσιν ὁ δῆμος σχεδόν τι ὅλος ταῖς 25
εἰρημέναις προσαιτητὴς ἐξαπιναίως ἐγένετο. βάναυσοι
γὰρ ἄνθρωποι καὶ χειρώνακτες λιμῷ παλαίειν, ὡς τὸ
20 εἰκὸς, ἠναγκάζοντο, πολλοί τε ἀπ' αὐτοῦ τὴν πολιτείαν
μεταβαλλόμενοι φεύγοντες ᾤχοντο ἐς τὰ Περσῶν ἤθη. P 74 □
μόνος δὲ ἀεὶ ὁ τῶν θησαυρῶν ἄρχων ἐνεργολαβῶν 26
τὸ ἐμπόλημα τοῦτο μοῖραν μὲν βασιλεῖ, ὥσπερ εἴρηται,
πόρων τῶν ἐνθένδε ἀποφέρειν ἠξίου, αὐτὸς δὲ τὰ
25 πλείω φερόμενος δημοσίαις συμφοραῖς ἐπλούτει. ταῦτα
μὲν οὖν τῇδε κεχώρηκεν.

---

2 ⟨γὰρ⟩ addidi ‖ 4 αὐτῷ scripsi] αὐτῶ codd. | μόνῳ] νόμῳ Maltr. | ἀπεδίδοτο Reiske] ἐπεδίδοτο codd. ‖ 6 οὐγκίαν Alem.] οἰκίαν codd. ‖ 7 βάματος *G* ‖ 8 τεττάρων *S* ‖ 17 ὅλος σχεδόν τι *S* ‖ 18 προσαιτητὴς Alem.] προσαιτεῖν τὴν *G P*, προσαιτεῖν *S* ‖ 19 χειρώνακτες *P S*] χειρωνάκται *G*

κϛʹ. Ὅντινα δὲ τρόπον τῶν πόλεων τοὺς κόσμους καὶ τὰ ἐγκαλλωπίσματα πάντα ἔν τε Βυζαντίῳ καὶ
2 πόλει ἑκάστῃ καθελεῖν ἴσχυσεν αὐτίκα ἐροῦμεν. πρῶτα μὲν καταλύειν τὸ τῶν ῥητόρων ἀξίωμα ἔγνω. τά τε γὰρ ἔπαθλα αὐτοὺς ἀφείλετο εὐθὺς ἅπαντα, οἷσπερ 5 τρυφᾶν τε τὰ πρότερα καὶ ἐγκαλλωπίζεσθαι τῆς συνη-
B 143 γορίας ἀφειμένοι εἰώθασι, καὶ διωμότους συνίστασθαι
□ τοὺς διαφερομένους ἐκέλευσε, καὶ ἀπ' αὐτοῦ περιυ-
3 βρισμένοι ἐν πολλῇ ἀθυμίᾳ ἐγένοντο. ἐπεὶ δὲ τῶν τε ἀπὸ τῆς συγκλήτου βουλῆς καὶ τῶν ἄλλων εὐδαιμόνων 10 δοκούντων εἶναι ἔν τε Βυζαντίῳ καὶ πάσῃ τῇ Ῥωμαίων ἀρχῇ πάσας, ὥσπερ ἐρρήθη, τὰς οὐσίας ἀφείλετο, ἀρ-
4 γεῖν τὸ λοιπὸν τῷ ἐπιτηδεύματι τούτῳ ἐλέλειπτο. οὐ γὰρ εἶχον ἄνθρωποι λόγου ὁτουοῦν οὐδὲν ἄξιον, οὗπερ ἂν καὶ ἀμφισβητοῖεν ἀλλήλοις. αὐτίκα τοίνυν ἐκ 15 πολλῶν μὲν ὀλίγοι, ἐξ ἐνδόξων δὲ λίαν κομιδῇ ἄδοξοι πανταχόθι γεγονότες τῆς γῆς πενίᾳ μέν, ὡς τὸ εἰκός, πολλῇ εἴχοντο, μόνην δὲ ὕβριν τὴν ἀπὸ τοῦ ἔργου φερόμενοι ἀπηλλάσσοντο.

5 Ἀλλὰ καὶ τοὺς ἰατρούς τε καὶ διδασκάλους τῶν 20
□ ἐλευθερίων τῶν ἀναγκαίων ἀπορεῖσθαι πεποίηκε. τάς τε γὰρ σιτήσεις, ἃς οἱ πρότερον βεβασιλευκότες ἐκ τοῦ δημοσίου χορηγεῖσθαι τούτοις δὴ τοῖς ἐπιτηδεύμασιν
6 ἔταξαν, ταύτας δὴ οὗτος ἀφείλετο πάσας. καὶ μὴν καὶ

4 Mal. 470, 19 || 7—8 διωμότους—ἐκέλευσε] Suid. s. v. διώμοτος.

1—164, 13 Ὅντινα—κεχώρηκεν om. S || 1 τρόπον hoc loco Maltr., post πόλεων codd. || 5 αὐτοὺς ἀφείλετο εὐθὺς P] ἀφείλετο αὐτοὺς G || 8 τοὺς διαφερομένους ἐκέλευσε codd.] τοῖς διαφερομένοις ἐκέλευε τοὺς ῥήτορας Suid. || 9 ἀθυμίᾳ Alem.] ἀσημίᾳ codd. | τε om. P || 12 ἐρρέθη codd. || 14 λόγον P || 21 ἀπορεῖσθαι P] στερεῖσθαι G

ὅσους οἱ τὰς πόλεις οἰκοῦντες ἁπάσας πολιτικῶν σφίσιν ἢ θεωρητικῶν οἴκοθεν πεποίηνται πόρους, καὶ □ τούτους μεταγαγὼν φόροις ἀναμῖξαι τοῖς δημοσίοις ἐτόλμησε. καὶ οὔτε ἰατρῶν τις ἢ διδασκάλων τὸ λοι- 7
5 πὸν ἐγίνετο λόγος οὔτε δημοσίας τις ἔτι οἰκοδομίας προνοεῖν ἴσχυσεν οὔτε λύχνα ταῖς πόλεσιν ἐν δημοσίῳ ἐκάετο οὔτε τις ἦν ἄλλη παραψυχὴ τοῖς ταύτας οἰκοῦσι. τά τε γὰρ θέατρα καὶ ἱππόδρομοι καὶ κυνηγέσια ἐκ 8 τοῦ ἐπὶ πλεῖστον ἅπαντα ἤργει, οὗ δή οἱ τὴν γυναῖκα
10 τετέχθαι τε καὶ τεθράφθαι καὶ πεπαιδεῦσθαι ξυνέβαινεν. ὕστερον δὲ ταῦτα δὴ ἀργεῖν ἐν Βυζαντίῳ ἐκέ- 9 □ λευσε τὰ θεάματα, τοῦ μὴ τὰ εἰωθότα χορηγεῖν τὸ B 144 δημόσιον πολλοῖς τε καὶ σχεδόν τι ἀναρίθμοις οὖσιν, P 75 οἷς ἐνθένδε ὁ βίος. ἦν τε ἰδίᾳ τε καὶ κοινῇ λύπη τε 10 □ □
15 καὶ κατήφεια, ὥσπερ ἄλλο τι τῶν ἀπ' οὐρανοῦ ἐπισκήψασαι πάθος, καὶ βίος πᾶσιν ἀγέλαστος. ἄλλο τε τὸ 11 παράπαν οὐδὲν ἐφέρετο τοῖς ἀνθρώποις ἐν διηγήμασιν, οἴκοι τε οὖσι καὶ ἀγοράζουσι κἀν τοῖς ἱεροῖς διατρίβουσιν ἢ συμφοραί τε καὶ πάθη καὶ καινοτέρων ἀτυ-
20 χημάτων ὑπερβολή.

Ταῦτα μὲν οὕτω ταῖς πόλεσιν εἶχεν. ὃ δὲ τῷ 12 λόγῳ λείπεται, τοῦτο εἰπεῖν ἄξιον. ὕπατοι Ῥωμαίων ἀνὰ πᾶν ἔτος ἐγινέσθην δύο, ἅτερος μὲν ἐν Ῥώμῃ, ὁ δὲ δὴ ἕτερος ἐν Βυζαντίῳ. ὅστις δὲ εἰς τὴν τιμὴν 13
25 ἐκαλεῖτο ταύτην πλέον ἢ κεντηνάρια χρυσοῦ εἴκοσιν ἐς τὴν πολιτείαν ἀναλοῦν ἔμελλεν, ὀλίγα μὲν οἰκεῖα, τὰ δὲ πλεῖστα πρὸς βασιλέως κεκομισμένος. ταῦτά τε 14

---

8 Mal. 417, 2

---

7 ἐκάετο Kraš.] ἐκάστω codd., ἑκάστῃ Alem. ‖ 10 τεθράφθαι scripsi] τετράφθαι codd. ‖ 14 ἦν τε] ἦν P

τὰ χρήματα ἔς τε τοὺς ἄλλους, ὧνπερ ἐμνήσθην, καὶ
□ ἐς τῶν βίων τοὺς ἀπορωτέρους ἐκ τοῦ ἐπὶ πλεῖστον
φερόμενα καὶ διαφερόντως ἐς τοὺς ἐπὶ σκηνῆς ἅπαντα
15 τὰ πράγματα ἐς ἀεὶ τῇ πόλει ἀνίστη. ἐξ οὗ δὲ Ἰου-
στινιανὸς τὴν βασιλείαν παρέλαβεν, οὐκέτι καιροῖς τοῖς 5
□ καθήκουσι ταῦτα ἐπράσσετο· ἀλλὰ τὰ μὲν ⟨πρῶτα⟩
πολλοῦ Ῥωμαίοις ὕπατος καθίστατο χρόνου, τελευ-
□ τῶντες δὲ οὐδὲ ὄναρ τὸ πρᾶγμα ἑώρων, ἐξ οὗ δὴ πενίᾳ
τινὶ ἐνδελεχέστατα ἐσφίγγετο τὰ ἀνθρώπεια, τὰ μὲν
□ εἰωθότα ⟨τοῦ βασιλέως⟩ οὐκέτι τοῖς ὑπηκόοις παρε- 10
χομένου, τὰ δὲ ὑπάρχοντα τρόποις ἅπασι πανταχόθεν
ἀφαιρουμένου.

16 Ὡς μὲν οὖν τὰ δημόσια καταπιὼν ξύμπαντα χρή-
ματα τοὺς ἐκ τῆς συγκλήτου βουλῆς ὁ λυμεὼν οὗτος
ἕκαστόν τε ἰδίᾳ καὶ κοινῇ ξύμπαντας τὰς οὐσίας ἀφῄ- 15
17 B 145 ρηται, διαρκῶς δεδιηγῆσθαι οἶμαι. ὡς δὲ καὶ τοὺς
ἄλλους εὐδαίμονας δοκοῦντας εἶναι συκοφαντίᾳ περιιὼν
ἀφαιρεῖσθαι τὰ χρήματα ἴσχυσεν, ἱκανώτατά μοι εἰρῆ-
□ σθαι νομίζω, οὐ μέντοι στρατιώτας τε καὶ ἄρχουσι
πᾶσιν ὑπηρετοῦντας καὶ τοὺς ἐν Παλατίῳ στρατευο- 20
μένους, γεωργούς τε καὶ χωρίων κτήτορας καὶ κυρίους
καὶ οἷς ἐν λόγοις τὰ ἐπιτηδεύματά ἐστιν, ἀλλὰ μὴν
ἐμπόρους τε καὶ ναυκλήρους καὶ ναύτας βαναύσους τε

---

6 Mal. 426, 21. 478, 20. Theoph. I 174, 16. Chron. Pasch. I 617, 18. Cedren. I 642, 15. Marcell. Com. ad a. 452 (1). Nov. 105, cap. 2

---

2 ἐς τῶν—πλεῖστον *P*] ἐκ τοῦ ἐπὶ πλεῖστον ἐς τῶν βίων τοὺς ἀπορωτέρους *G* ‖ 6 ἀλλὰ τὰ] ἄλλοτε edd. cum Alem. | ⟨πρῶτα⟩ addidi] ⟨πρῶτα μόνος τις⟩ Kraš. ‖ 10 ⟨τοῦ βασιλέως⟩ vel simile post εἰωθότα addendum est. cf. Hy 2, p. 41. ‖ 19 οὐ μέντοι scripsi] ἐν μέντοι codd., καὶ μέντοι Reiske, fortasse scribendum: οὐ μόνον | στρατιώτας Reiske] στρατιώταις codd.

καὶ χειρώνακτας καὶ ἀγοραίους καὶ οἷς ἀπὸ τῶν ἐπὶ τῆς σκηνῆς ἐπιτηδευμάτων ὁ βίος, καὶ μὴν καὶ τοὺς ἄλλους ὡς εἰπεῖν ἅπαντας, ἐς οὓς διικνεῖσθαι βλάβος τὸ ἐκ τοῦδε συμβαίνει.

5 Οἷα δὲ τούς τε προσαιτητὰς καὶ ἀγελαίους ἀνθρώπους καὶ πτωχούς τε καὶ λώβῃ πάσῃ ἐχομένους εἰργάσατο, αὐτίκα ἐροῦμεν· τὰ γὰρ ἀμφὶ τοῖς ἱερεῦσιν αὐτῷ πεπραγμένα ἐν τοῖς ὄπισθεν λόγοις λελέξεται. πρῶτα μὲν, ὅπερ εἴρηται, ἅπαντα περιβεβλημένος τὰ πωλητή-10 ρια καὶ ὠνίων τῶν ἀναγκαιοτάτων τὰ λεγόμενα καταστησάμενος μονοπώλια πλέον ἢ τριπλάσια τιμήματα πάντας ἀνθρώπους ἐπράττετο. καὶ τὰ μὲν ἄλλα ἐπεὶ ἀνάριθμά μοι ἔδοξεν εἶναι, οὐκ ἂν ἔγωγε λόγῳ ἀτελευτήτῳ καταλέγειν φιλονεικοίην· ἀπὸ δὲ τῶν τοὺς 15 ἄρτους ὠνουμένων πικρότατα ἐς πάντα τὸν αἰῶνα ἐσύλει, οὓς δὴ καὶ χειρώνακτας καὶ πτωχοὺς καὶ πάσῃ λώβῃ ἐχομένους ἀνθρώπους μὴ οὐκ ὠνεῖσθαι ἀδύνατον. αὐτὸς μὲν γὰρ ἐς τρία κεντηνάρια φέρεσθαι ἀνὰ πᾶν ἔτος ἐνθένδε ἠξίου, ὅπως οἱ ἄρτοι ⟨ἀξιώτεροι⟩ 20 ὦσι καὶ σποδοῦ ἔμπλεῳ· οὐδὲ γὰρ ἐς τοῦτο δὴ τὸ τῆς αἰσχροκερδείας ἀσέβημα ὁ βασιλεὺς οὗτος ὀκνηρὸς ᾔει· ταύτῃ δὲ τῇ σκήψει οἰκεῖα κέρδη ἐπιτεχνώμενοι οἷς ἐπέκειτο ἡ τιμὴ αὕτη αὐτοὶ μὲν ῥᾷστα ἐς πλοῦτόν τινα περιίσταντο μέγαν, λιμὸν δὲ τοῖς πτωχοῖς χειρο-25 ποίητον ἐν εὐθηνοῦσι χρόνοις ἀεὶ παρὰ δόξαν εἰργάζοντο, ἐπεὶ οὐδὲ σῖτον ἑτέρωθέν τινι εἰσκομίζεσθαι

(Margin: 18, 19, 20, 21, P 76, 22, B 146)

8 λελέξεται] Procopius videtur in animo habuisse de rebus a Iustiniano in sacerdotes commissis scribere. cf. III 7, 13

1 χειρωνάκτας hic et infra P ‖ 4 ἐκ τοῦδε scripsi] ἐς τούσδε codd. ‖ 19 ἠξίου ἐνθένδε G | ⟨ἀξιώτεροι⟩ addidi] cf. 162, 22 ‖ 20 σποδοῦ P] σπονδοῦ G | ἔμπλεοι G ‖ 22 ᾔει Dind.] εἴη codd.

τὸ παράπαν ἐξῆν, ἀλλὰ ἀναγκαῖον ἦν ἅπασι τούτους δὴ ὠνουμένους ἄρτους ἐσθίειν.

23 Τὸν δὲ τῆς πόλεως ὀχετὸν διερρωγότα τε ὁρῶντες καὶ μοῖραν ὕδατος ὀλίγην τινὰ ἐς τὴν πόλιν εἰσάγοντα ὑπερεώρων τε καὶ οὐδ' ὁτιοῦν αὐτῷ προέσθαι ἤθελον, 5 καίπερ ὁμίλου ἀεὶ ἀμφὶ τὰς κρήνας ἀποπνιγομένου πολλοῦ, καὶ τῶν βαλανείων ἀποκεκλεισμένων ἁπάντων· καίτοι ἐς οἰκοδομίας θαλασσίους τε καὶ ἀνοήτους ἄλλας μέγεθος χρημάτων οὐδενὶ λόγῳ προΐετο, πανταχόθι τῶν προαστείων ἐπιτεχνώμενος, ὥσπερ τῶν βασιλείων 10 αὐτοὺς οὐ χωρούντων, ἐν οἷς δὴ ἅπαντες οἱ πρότερον 24 βεβασιλευκότες διαβιοῦν ἐς ἀεὶ ἤθελον. οὕτως οὐ χρημάτων φειδοῖ, ἀλλὰ φθόρου ἀνθρώπων ἕνεκα τῆς τοῦ ὀχετοῦ οἰκοδομίας ὀλιγωρεῖν ἔγνω, ἐπεὶ οὐδεὶς ἐκ τοῦ παντὸς χρόνου Ἰουστινιανοῦ τοῦδε ἑτοιμότερος 15 γέγονεν ἀνθρώπων ἁπάντων χρήματά τε προσποιεῖσθαι κακῶς, καὶ ταῦτα χειρόνως αὐτίκα δὴ μάλα προέσθαι. 25 δυοῖν τοίνυν ἀπολελειμμένοιν ἔν τε ποτῷ καὶ τοῖς ἐδωδίμοις τοῖς τὰ ἔσχατα πενομένοις καὶ πτωχοῖς οὖσιν, ὕδατός τε καὶ ἄρτου, δι' ἀμφοῖν αὐτούς, ὥσπερ 20 μοι δεδιήγηται, βασιλεὺς ὅδε ἔβλαψε, τὸ μὲν ἄπορον σφίσι, τὸν δὲ πολλῷ ἀξιώτερον ἐργασάμενος.

26 Οὐ μόνον δὲ τοὺς ἐν Βυζαντίῳ προσαιτητάς, ἀλλὰ καὶ τῶν ἑτέρωθι ᾠκημένων τινὰς ἔδρασε ταῦτα, ὥσπερ 27 μοι αὐτίκα λελέξεται. Ἰταλίαν γὰρ Θευδέριχος ἑλὼν 25 τοὺς ἐν τῷ Ῥώμης Παλατίῳ στρατευομένους αὐτοῦ

---

3 cf. Theoph. I 237, 8. 239, 24

---

1 τούτους *G* corr.] τοῦ *P*, τούτοις *G* pr. m. ‖ 2 ὠνουμένοις Maltr. ‖ 9 μεγέθη *P* ‖ 12 ἐς ἀεὶ ἤθελον] ἔσχον *P* ‖ 16 τε om. *G* ‖ 26 αὐτοῦ Reiske] αὐτοὺς codd.

εἴασεν, ὅπως τι διασώζοιτο πολιτείας ἐνταῦθα τῆς παλαιᾶς ἴχνος, μι⟨κ⟩ρὰν ἀπολιπὼν σύνταξιν ἐς ἡμέραν ἑκάστῳ. ἦσαν δὲ οὗτοι παμπληθεῖς ἄγαν. οἵ τε γὰρ σιλεντιάριοι καλούμενοι καὶ δομέστικοι καὶ σχολάριοι
5 ἐν αὐτοῖς ἦσαν, οἷς δὴ ἄλλο οὐδὲν ἀπελέλειπτο ἢ τὸ τῆς στρατείας ὄνομα μόνον, καὶ ἡ σύνταξις αὕτη ἐς τὸ ἀποζῆν ἀποχρῶσα μόλις αὐτοῖς, ἅπερ ἔς τε παῖδας καὶ ἀπογόνους Θευδέριχος αὐτοὺς παραπέμπειν ἐκέλευσε. τοῖς τε προσαιτηταῖς οἳ παρὰ τὸν Πέτρου τοῦ
10 ἀποστόλου νεὼν δίαιταν εἶχον, τρισχιλίους σίτου μεδίμνους χορηγεῖν ἀεὶ τὸ δημόσιον ἀνὰ πᾶν ἔτος διώρισεν· ἅπερ ἅπαντες οὗτοι διαγεγόνασι κομιζόμενοι ἕως Ἀλέξανδρος ὁ Ψαλίδιος ἐς τὴν Ἰταλίαν ἀφίκετο. πάντα γὰρ εὐθὺς οὗτος ἀνὴρ ὀκνήσει οὐδεμιᾷ περιελεῖν
15 ἔγνω. ταῦτα μαθὼν Ἰουστινιανὸς Ῥωμαίων αὐτοκράτωρ τήν τε πρᾶξιν προσήκατο ταύτην καὶ τὸν Ἀλέξανδρον ἔτι μᾶλλον ἢ πρότερον διὰ τιμῆς ἔσχεν. ἐν ταύτῃ Ἀλέξανδρος τῇ πορείᾳ καὶ τοὺς Ἕλληνας εἰργάσατο τάδε.

B 147 — 28 — 29 — 30

20 Τοῦ ἐν Θερμοπύλαις φυλακτηρίου οἱ τὰ ἐκείνῃ γεωργοῦντες χωρία ἐκ παλαιοῦ ἐπεμελοῦντο, ἐκ περιτροπῆς τε τὸ ἐνταῦθα τεῖχος ἐφύλασσον, ἡνίκα δὴ ἔφοδος βαρβάρων τινῶν ὡς ἐπισκήψει ἐς τὴν Πελοπόννησον ἐπίδοξος ἦν. ἀλλ' ἐνταῦθα γενόμενος τότε Ἀλέξανδρος
25 οὗτος προνοεῖν Πελοποννησίων σκηπτόμενος οὐκ ἔφη

31 — P 77 — 32

14 cf. II 302, 19

1 ἐνταῦθα om. *G* ‖ 3 δὲ Alem.] δὴ codd. ‖ 4 σιλεντιάριοι P et Alem.] σελεντηνάρια *G* ‖ 5 ἀπελέλειπτο *G* corr.] ὑπελέλειπτο *G* pr. m., *P* ‖ 8 θευδώριχος *G* ‖ 14 οὗτος ὁ *G* (ὁ superscr.) ‖ 20 τοῦ—φυλακτηρίου Alem.] τοὺς—φυλακτηρίους codd. ‖ 23 πελοπόνησον *G* ‖ 25 πελοπονησίων codd.

33 γεωργοῖς τὸ ταύτῃ φυλακτήριον ἐπιτρέψειν. στρατιώτας οὖν ἐνταῦθα εἰς δισχιλίους καταστησάμενος οὐκ ἐκ τοῦ δημοσίου χορηγεῖσθαι σφίσι τὰς συντάξεις διώρισεν, ἀλλὰ τῶν ἐν τῇ Ἑλλάδι πασῶν πόλεων τά τε πολιτικὰ καὶ θεωρητικὰ ξύμπαντα χρήματα ἐς τὸ δη- (5) μόσιον ἐπὶ τῷ προσχήματι τούτῳ μετήνεγκεν, ἐφ' ᾧ ἐνθένδε οἱ στρατιῶται οὗτοι σιτίζοιντο, καὶ ἀπ' αὐτοῦ ἔν τε τῇ ἄλλῃ πάσῃ Ἑλλάδι καὶ οὐχ ἥκιστα ἐν (B 148) Ἀθήναις αὐταῖς οὔτε τις ἐν δημοσίῳ οἰκοδομία ⟨ἀνενεώθη⟩ οὔτε ἄλλο ἀγαθὸν ⟨οἷόν τε ἦν⟩ γίνεσθαι. (10)
34 Ἰουστινιανὸς μέντοι τὰ τῇδε διῳκημένα τῷ Ψαλιδίῳ οὐδεμιᾷ μελλήσει ἐπέρρωσε.

35 Ταῦτα μὲν οὖν τῇδε κεχώρηκεν. ἰτέον δὲ καὶ εἰς τοὺς ἐν Ἀλεξανδρείᾳ πτωχούς. Ἥφαιστός τις ἐν τοῖς ἐνταῦθα ῥήτορσιν ἐγεγόνει, ὅσπερ παραλαβὼν τὴν (15) Ἀλεξανδρέων ἀρχὴν τὸν μὲν δῆμον τοῦ στασιάζειν κατέπαυσε, φοβερὸς τοῖς στασιώταις φανείς, ἔσχατα δὲ ἐσχάτων κακὰ τοῖς τῇδε ᾠκημένοις ἐνδέδεικται πᾶσι.
36 πάντα γὰρ εὐθὺς τὰ τῆς ⟨πόλεως⟩ πωλητήρια ἐς τὸ καλούμενον μονοπώλιον καταστησάμενος ἄλλον μὲν (20) ἐμπόρων οὐδένα ταύτην δὴ τὴν ἐργασίαν ἐργάζεσθαι εἴα, μόνος δὲ ἁπάντων αὐτὸς γεγονὼς κάπηλος παρεδίδοτο τὰ ὤνια πάντα, δηλονότι τὰς τούτων τιμὰς τῇ τῆς ἀρχῆς ἐξουσίᾳ σταθμώμενος, ἀπεπνίγετό τε τῇ τῶν ἀναγκαίων σπάνει ἡ τῶν Ἀλεξανδρέων πόλις, οὗ δὴ (25)

---

2 ἐς *P* ‖ 9—10 ἐν δημοσίῳ—γίνεσθαι] ἐν δημοσία (δημοσία *G* pr. m., δημοσίω *G* corr.) οἰκοδομία * οὔτε ἄλλο ἀγαθὸν * * * γίνεσθαι *G*, οἰκοδομία ἐν δημοσίω, οὔτε * * οὔτε ἄλλο ἀγαθὸν γίνεσθαι *P*, supplevi ⟨ἀνενεώθη⟩ et ⟨οἷόν τε ἦν⟩, γενέσθαι ⟨ξυνέβη⟩ edd. cum Maltr. ‖ 12 μελήσει codd. ‖ 13 ἰτέον] hinc rursus *S* ‖ 19 ⟨πόλεως⟩ addidit Alem. ‖ 20 ἄλλον scripsi] ἄλλων codd. ‖ 22 εἴα *PS*] εἴωθε *G* ‖ 22—23 παρεδίδοτο] ἀπεδίδοτο Reiske

καὶ τοῖς τὰ ἔσχατα πενομένοις τὰ πρότερα εὔωνα διαρκῶς ἐγεγόνει πάντα. μάλιστα δὲ αὐτοὺς ἀμφὶ τῷ ἄρτῳ ἐπίεζε. τὸν γὰρ σῖτον αὐτὸς ἐξ Αἰγυπτίων ὠνεῖτο 37 μόνος, οὐδὲ ὅσον ἐς μέδιμνον ἕνα ἑτέρῳ ἐνδιδοὺς
5 πρίασθαι, ταύτῃ τε τοὺς ἄρτους καὶ τὰ τῶν ἄρτων τιμήματα διετίθετο ᾗπερ ἐβούλετο. πλοῦτον τοίνυν 38 [καὶ] ἀμύθητον αὐτός τε δι' ὀλίγου περιεβάλετο καὶ βασιλεῖ τὴν ἀμφὶ τούτῳ ἐπιθυμίαν ἐνεπλήσατο. καὶ 39 τῶν μὲν Ἀλεξανδρέων ὁ δῆμος δέει τοῦ Ἡφαίστου τὰ
10 παρόντα σφίσιν ἡσυχῇ ἔφερον, ὁ δὲ αὐτοκράτωρ αἰδοῖ τῶν οἱ ἐς ἀεὶ ἐσκομιζομένων χρημάτων ἐν τοῖς μάλιστα ὑπερηγάπα τὸν ἄνθρωπον.

Βουλεύσας δὲ Ἥφαιστος οὗτος ὅπως τὴν βασιλέως 40 διάνοιαν πολλῷ ἔτι μᾶλλον ἐξελεῖν δύνηται, προσε-
15 πετεχνήσατο τάδε. Διοκλητιανὸς Ῥωμαίων γεγονὼς 41 B 149 αὐτοκράτωρ σίτου μέγα τι χρῆμα δίδοσθαι παρὰ τοῦ δημοσίου τῶν Ἀλεξανδρέων τοῖς δεομένοις ἀνὰ πᾶν ἔτος διώρισε. ταῦτα ὁ δῆμος τηνικάδε διαδασάμενοι 42 ἐν σφίσιν αὐτοῖς ἐς ἀπογόνους τοὺς ἄχρι δεῦρο παρέ-
20 πεμψαν. ἀλλ' Ἥφαιστος ἐνθένδε μυριάδας ἐς δια- 43 κοσίας ἐπετείους μεδίμνων τοὺς τῶν ἀναγκαίων ὑποσπανίζοντας ἀφελόμενος τῷ δημοσίῳ ἐντέθεικε, βασιλεῖ γράψας ὡς οὐ δικαίως οὐδὲ ᾗ ξυμφέρει τοῖς πράγμασι μέχρι νῦν ταῦτα οἱ ἄνδρες οὗτοι κομίζοιντο. καὶ ἀπ' 44
25 αὐτοῦ βασιλεὺς μὲν ἐμπεδώσας τὴν πρᾶξιν διὰ σπου- P 78

---

4 ἐνδιδοὺς *PS*] διδοὺς *G* ‖ 7 [καὶ] delevit Alem. | περιεβάλλετο *G* ‖ 10 ἔφερον conicit Kraš.] ἔφερεν codd. ‖ 14—15 προσεπιτεχνήσατο *S* ‖ 17 δημοσίου *S*] δήμου *GP* | τῶν *G*] om. *PS* ‖ 18 διαδασάμενοι Petavius ad Synes. p. 58] διαδικασάμενοι codd. ‖ 19 ἐς] γε *P* ‖ 19—20 παρέπεμψαν Alem.] παραπέμψαι codd. ‖ 23 οὐ δικαίως] οὐ δικαίως οὐ δὲ καίως *S* | ᾗ Reiske] εἰ codd. ‖ 25 βασιλεὺς *S*] βασιλεῖ *GP*

δῆς αὐτὸν μείζονος ἔσχεν, Ἀλεξανδρέων δὲ ὅσοι ταύ-
την εἶχον τοῦ βίου ἐλπίδα, ταύτης δὴ ἐν τοῖς ἀναγ-
καιοτάτοις τῆς ἀπανθρωπίας ἀπώναντο.

κζʹ. Τὰ μὲν οὖν Ἰουστινιανῷ εἰργασμένα τοσαῦτά
ἐστιν, ὥστε μηδὲ τὸν πάντα αἰῶνα τῷ περὶ αὐτῶν 5
2 λόγῳ ἐπαρκεῖν δύνασθαι. ὀλίγα δέ μοι ἄττα ἐκ πάν-
των ἀπολεξαμένῳ εἰπεῖν ἀποχρήσει, δι' ὧν αὐτοῦ ἔν-
δηλον καὶ τοῖς ὄπισθεν γενησομένοις τὸ ἦθος ἅπαν
διαφανῶς ἔσται, [καὶ] ὡς εἴρων τε ἦν καὶ οὔτε θεοῦ
οὔτε ἱερέων οὔτε νόμων αὐτῷ ἔμελεν, οὔτε δήμου 10
κατεσπουδασμένου αὐτῷ δοκοῦντος εἶναι, οὐ μὴν οὔτε
τινὸς τὸ παράπαν αἰδοῦς ἢ τοῦ τῆς πολιτείας ξυμφό-
ρου ἢ ὅτου τι προὔργου ἐς αὐτὴν γένοιτο, ἢ ὅπως
σκήψεώς τινος τὰ πρασσόμενα τυχεῖν δύναιτο, οὔτε
ἄλλο τι αὐτὸν ἐσῄει, ὅτι μὴ μόνη ἀφαίρεσις τῶν ἐν 15
B 150 πάσῃ γῇ κειμένων χρημάτων. ἄρξομαι δὲ ἐνθένδε.

3 Ἀρχιερέα κατεστήσατο Ἀλεξανδρεῦσιν αὐτὸς Παῦλόν
ὄνομα. ἐτύγχανε δὲ Ῥόδων τις, Φοῖνιξ γένος, ἔχων
4 τηνικάδε τὴν Ἀλεξανδρείας ἀρχήν. ᾧ δὴ ἐπέστελλεν
ἐς ἅπαντα Παύλῳ ὑπηρετεῖν προθυμίᾳ τῇ πάσῃ, ὅπως 20
δὴ ἀτελεύτητον μένοι τῶν πρὸς αὐτοῦ ἐπαγγελλομένων

---

17 Quae sequuntur, narrat Liberatus brev cap. 23. cf. Cyrill. Scythopolit. in vita S. Sabae (ed. Cotelerius, eccl. gr. monumenta 3, Paris. 1686). Cedren. I 655, 22. Theoph. I 222, 18. Cramer Anecd. II 110

---

4 *οὖν S*] om. *G P* ‖ 5 *ὥστε S*] *ὡς G P* | *μηδὲ* Dind.] *μήτε* codd. | *τῷ* Reiske] *τὰ* codd. ‖ 7 *εἰπεῖν ἀποχρήσει P S*] *ἀποχρήσει εἰπεῖν G* ‖ 9 [*καὶ*] delevit Dind. ‖ 10 *ἔμελλεν G* | *οὔτε* conic. Kraš.] *οὐδὲ* codd. ‖ 11 *οὔτε*] *οὐδὲ* conic. Kraš. ‖ 13 *τι* delendum puto | *προὔγου G* ‖ 14 *σκήψεώς G P*] *ἐκ σκήψεως S*, *ἐπισκήψεώς* Reiske, frustra ‖ 16 *χρημάτων κειμένων S* | *ἐνθένδεν G* ‖ 17 *αὐτὸς G P*] om. *S* ‖ 21 *μένοι* Dind.] *μείνοι* codd. | *πρὸς G P*] *πρὸ S*

μηδέν. ταύτῃ γὰρ τῶν Ἀλεξανδρέων τοὺς ⟨αἱρετικοὺς⟩ 5 □
ἑταιρίζεσθαι αὐτὸν ἐς τὴν ἐν Καλχηδόνι σύνοδον ᾤετο
δυνατὸν ἔσεσθαι. ἦν δέ τις Ἀρσένιος, Παλαιστῖνος 6
γένος, ὅσπερ Θεοδώρᾳ τῇ βασιλίδι ἐν τοῖς μάλιστα
5 *ἀναγκαιοτάτοις ἐπιτήδειος γεγονὼς, καὶ ἀπ' αὐτοῦ δύ-*
ναμίν τε πολλὴν μεγάλα τε περιβαλλόμενος χρήματα □
ἐς βουλῆς ἀξίωμα ἦλθε, καίπερ μιαρώτατος ὤν. οὗτος 7
Σαμαρείτης μὲν ἦν, τοῦ δὲ μὴ τὴν ὑπάρχουσαν προέ-
σθαι δύναμιν ὀνόματος ἀντιλαβέσθαι τοῦ Χριστιανῶν
10 *ἔγνω. ὁ μέντοι πατήρ τε καὶ ἀδελφὸς τῇ τούτου* 8
δυνάμει θαρσοῦντες διαγεγόνασι μὲν ἐν Σκυθοπόλει,
περιστέλλοντες τὴν πάτριον δόξαν, γνώμῃ δὲ αὐτοῦ
ἀνήκεστα τοὺς Χριστιανοὺς εἰργάζοντο πάντας. διὸ 9 □ □
δὴ οἱ πολῖται σφίσιν ἐπαναστάντες ἄμφω ἔκτειναν
15 *θανάτῳ οἰκτίστῳ, κακά τε πολλὰ ξυνηνέχθη Παλαιστί-*
νοις ἐνθένδε γενέσθαι. τότε μὲν οὖν αὐτὸν οὔτε Ἰου- 10
στινιανὸς οὔτε βασιλὶς κακόν τι ἔδρασαν, καίπερ αἰτιώ-
τατον γεγονότα δυσκόλων ἁπάντων, ἀπεῖπον δὲ αὐτῷ
ἐς Παλάτιον μηκέτι ἰέναι· ἐνδελεχέστατα γὰρ τούτου
20 *δὴ ἕνεκα πρὸς τῶν Χριστιανῶν ἠνωχλοῦντο. οὗτος* 11
Ἀρσένιος βασιλεῖ χαριεῖσθαι οἰόμενος οὐ πολλῷ ὕστε- P 79
ρον ξὺν τῷ Παύλῳ ἐς τὴν Ἀλεξάνδρειαν στέλλεται,
ὡς δὴ τά τε ἄλλα ὑπηρετήσων καὶ τὴν ἐς τοὺς Ἀλε- B 151
ξανδρεῖς πειθὼ ξυγκατεργασόμενος αὐτῷ δυνάμει τῇ
25 *πάσῃ. ἰσχυρίζετο γὰρ ὑπὸ τὸν χρόνον τοῦτον, ἡνίκα* 12

1 ⟨*αἱρετικοὺς*⟩ supplevi] *εὐδοκιμωτέρους* vel *λογιμωτάτους* Alem., *πρώτους* vel *πλείστους* Reiske, *ἱερεῖς* Isambert ‖ 2 *Καλχηδόνι*] *χαλκηδόνι* *P* ‖ 3 *παλαιστηνὸς* *G*, *παλαιστινὸς* *P* ‖ 6 *μεγάλα τε* *PS*] *τε* om. *G* | *περιβαλόμενος* *P* ‖ 11 *θαρροῦντες* *G* ‖ 15—16 *παλαιστινοῖς* *P*, *παλαιστηνοῖς* *GS* ‖ 16—17 *οὔτε—οὔτε* Dind.] *οὐδὲ—οὐδὲ* codd. ‖ 18 *ἀπεῖπον* *PS*] *ἀπειπὼν* *G* ‖ **20** ***τῶν*** ***PS***] **om.** ***G*** ‖ **24** *συγκατεργασόμενος* Alem., *συγκατεργασάμενος* *G*, *ξυγκατεργασάμενος* *PS*

οἱ τοῦ Παλατίου ἀποκεκλεῖσθαι ξυνέπεσε, τῶν ἐν Χρι-
στιανοῖς οὐκ ἀμελέτητος γεγονέναι δογμάτων ἁπάντων.
13 ὅπερ τὴν Θεοδώραν ἠνίασε· τὴν ἐναντίαν γὰρ ἐσκήπ-
τετο τῷ βασιλεῖ ἐς τοῦτο ἰέναι, ὥς μοι ἐν τοῖς ἔμπρο-
14 σθεν λόγοις εἴρηται. ἐπεὶ οὖν ⟨ἐν⟩ Ἀλεξανδρεῦσιν 5
ἐγένοντο, διάκονόν τινα Ψόην ὄνομα Ῥόδωνι Παῦλος
παρέδωκε τεθνηξόμενον, φάσκων δὴ αὐτὸν μόνον οἱ
αὐτῷ ἐμποδὼν ἵστασθαι τοῦ μὴ τὰ βασιλεῖ δεδογμένα
15 ὑποτελέσαι. τοῖς δὲ βασιλέως γράμμασι Ῥόδων ἠγμέ-
νος, συχνοῖς τε οὖσι καὶ λίαν σπουδαίοις, αἰκίζεσθαι 10
τὸν ἄνθρωπον ἔγνω. ⟨καὶ⟩ ὃς ὑπὸ τῆς βασάνου κατα-
16 τεινόμενος αὐτίκα θνήσκει. ἅπερ ἐπεὶ ἐς βασι⟨λέα
ἦλθεν⟩, ἐγκειμένης ἰσχυρότατα τῆς βασιλίδος, ἅπαντα
βασιλεὺς ἐπὶ Παύλῳ τε καὶ Ῥόδωνι καὶ Ἀρσενίῳ εὐ-
θὺς ἐκίνει, ὥσπερ τῶν πρὸς αὐτοῦ τούτοις δὴ τοῖς 15
17 ἀνθρώποις ἐπηγγελμένων ἐπιλελησμένος ἁπάντων. Λι-
βέριον οὖν τῶν ἐκ Ῥώμης ἄνδρα πατρίκιον καταστησά-
μενος ἐπὶ τῆς Ἀλεξανδρέων ἀρχῆς καὶ τῶν δοκίμων
ἱερέων τινὰς ἐς τὴν Ἀλεξάνδρειαν ἔστειλε τὴν τοῦ
πράγματος ποιησομένους διάγνωσιν, ἐν οἷς καὶ ὁ Ῥώ- 20
μης ἀρχιδιάκονος Πελάγιος ἦν, τὸ Βιγιλίου τοῦ ἀρχιερέως
ὑποδὺς πρόσωπον, ἐπιτεταγμένον οἱ τοῦτό γε πρὸς τοῦ

---

5 cf. III 68, 18

---

2 *δογμάτων*] *πραγμάτων P* ‖ 5 *εἴρηται* Reiske] *εἰρήσεται* codd. | *⟨ἐν⟩* addidit Alem. ‖ 6 *ἐγένοντο G P*] *ἐγένετο S* | *Psoum* Liberat. ‖ 8 *αὐτῷ* delet Reiske ‖ 11 *⟨καὶ⟩* addidi ‖ 12—13 *ἐς βασι⟨λέα ἦλθεν⟩* Alem.] *ἐς βασι * G P, ἐς * S* ‖ 14 *βασιλεὺς* codd.] *ὁ βασιλεὺς* edd. ‖ 17 *τῶν* scripsi] *τὸν* codd., cf. II 459, 2–3 ‖ 18 *Ἀλεξανδρέων* Alem.] *ἀλεξάνδρου* codd. ‖ 19 *Ἀλεξάνδρειαν* Reiske] *ἀλεξανδρέων* codd. ‖ 20 *ποιησομένους P*, Alem.] *ποιησαμένους* codd. ‖ 21 *ἦν πελάγιος P* | *τὸ Βιγιλίου* Dind.] *τοῦ βιγιλίου G P*, om. *S*

Βιγιλίου· τοῦ τε φόνου ἐληλεγμένου Παῦλον τῆς ἱερω- 18 □
σύνης εὐθὺς καθεῖλον, φυγόντα δὲ Ῥόδωνα ἐς Βυζάν-
τιον τήν τε κεφαλὴν ἀφείλετο ὁ βασιλεὺς καὶ τὰ χρή-
ματα ἐς τὸ δημόσιον ἀνάγραπτα ἐποιήσατο, καίπερ B 152
5 *τρισκαίδεκα ἐπιστολὰς τοῦ ἀνθρώπου ἐνδειξαμένου,*
ἅσπερ αὐτῷ βασιλεὺς ἔγραψε σπουδάζων τε καὶ δια-
τεινόμενος ἄγαν ἐπαγγέλλων τε ἅπαντα τῷ Παύλῳ
ὑπηρετεῖν ἐπιτάττοντι καὶ μηδ' ὁτιοῦν ἀντιτείνειν,
ὅπως ἐπὶ τῇ δόξῃ ἐπιτελέσαι τὰ δόξαντα δυνατὸς εἴη.
10 *Ἀρσένιόν τε Λιβέριος γνώμῃ Θεοδώρας ἀνεσκολόπισε,* 19
καὶ αὐτοῦ τὰ χρήματα δημοσιοῦν βασιλεὺς ἔγνω, καί-
περ οὐδὲν αὐτῷ ἐπεγκαλεῖν ἔχων ἢ ὅτι ξὺν τῷ Παύλῳ
δίαιταν εἶχε.

Ταῦτα μὲν οὖν εἴτε ὀρθῶς εἴτε ἄλλῃ πῃ αὐτῷ εἴρ- 20 □
15 *γασται, οὐκ ἔχω εἰπεῖν, ὅτου δὲ δὴ ἕνεκα ταῦτά μοι*
εἴρηται αὐτίκα δηλώσω. ὁ Παῦλος χρόνῳ τινὶ ὕστε- 21
ρον ἐς Βυζάντιον ἥκων ἑπτά τε χρυσοῦ κεντηνάρια
τῷ βασιλεῖ τούτῳ προέμενος ἠξίου τὴν ἱερωσύνην
ἀπολαβεῖν ἅτε αὐτὴν οὐδενὶ νόμῳ ἀφῃρημένος. Ἰου- 22
20 *στινιανὸς δὲ τά τε χρήματα ἐδέξατο πράως καὶ τὸν*
ἄνθρωπον ἐν τιμῇ ἔσχεν, ἀρχιερέα τε ὡμολόγησεν
Ἀλεξανδρεῦσιν αὐτὸν καταστήσεσθαι αὐτίκα δὴ μάλα,
καίπερ ἑτέρου τὴν τιμὴν ἔχοντος, ὥσπερ οὐκ εἰδὼς
ὅτι δὴ τοὺς αὐτῷ ξυνοικήσαντάς τε καὶ ὑπουργεῖν τε-
25 *τολμηκότας ἔκτεινέ τε αὐτὸς καὶ τὰς οὐσίας ἀφείλετο.* □
ὁ μὲν οὖν Σεβαστὸς ἐς ἄγαν διατεινόμενος τὸ πρᾶγμα 23 P 80
ἐν σπουδῇ ἐποιεῖτο, Παῦλος δὲ διαρρήδην ἐπίδοξος

4 *τὸ PS*] *τὸν G* | *καίπερ GP*] *καίτοι S* ‖ 6 *ἅσπερ GP*] *ὥσπερ S* ‖ 9 *ὅπως* Alem.] *ὅμως* codd. ‖ 16—17 *ὕστερον PS*] om. *G* ‖ 17 *τε* Maltr.] *τι* codd. ‖ 19 *αὐτὴν—νόμῳ GP*] *οὐδενὶ αὐτὴν τρόπῳ S* ‖ 24 *ὑπουργεῖν GP, S* pr. m. corr.] *ὑπουργεί-σαν S* pr. m. ‖ 25 *αὐτὸς* Maltr.] *αὐτοὺς* codd.

24 ἣν τὴν ἱερωσύνην ἀπολήψεσθαι μηχανῇ πάσῃ. ἀλλὰ
Βιγίλιος τηνικάδε παρὼν εἴκειν βασιλεῖ τὸ τοιοῦτον
ἐπιτάττοντι οὐδαμῇ ἔγνω. ἔφασκε γὰρ οὐχ οἷός τε
εἶναι ψῆφον τὴν οἰκείαν αὐτὸς ἀνάδικον διειργάσθαι,
25 τὴν Πελαγίου παραδηλῶν γνῶσιν. οὕτως ἄλλου οὐ- 5
δενὸς τῷ βασιλεῖ τούτῳ ὅτι μὴ χρημάτων ἀφαιρέσεως
B 153 ἀεὶ ἔμελεν. εἰρήσεται δὲ καὶ ἄλλο τοιόνδε.

26 Φαυστῖνος ἦν τις, Παλαιστῖνος γένος, Σαμαρείτης
μὲν γεγονὼς ἄνωθεν, ὀνόματος δὲ τοῦ Χριστιανῶν
27 ἀντιλαμβανόμενος ἀνάγκῃ τοῦ νόμου. οὗτος ὁ Φαυ- 10
στῖνος ἔς τε βουλῆς ἀξίωμα ἦλθε καὶ τῆς χώρας τὴν
ἀρχὴν ἔσχεν, ἥσπερ αὐτὸν παραλυθέντα οὐ πολλῷ
ὕστερον ἔς τε τὸ Βυζάντιον ἥκοντα τῶν τινες ἱερέων
διέβαλλον ἐπενεγκάμενοι ὡς Σαμαρειτῶν νόμιμα περι-
στέλλει, καὶ Χριστιανοὺς δράσειε τοὺς ἐν Παλαιστίνῃ 15
28 ᾠκημένους ἀνόσια ἔργα. Ἰουστινιανὸς δὲ ἀγριαίνεσθαί
τε καὶ δεινὰ ποιεῖσθαι διὰ ταῦτα ἐδόκει, ὅτι δὴ αὐτοῦ
τὴν Ῥωμαίων ἀρχὴν ἔχοντος τὸ τοῦ Χριστοῦ ὄνομα
29 ὑφ' ὁτουοῦν διασύροιτο. οἱ μὲν οὖν ἐκ τῆς συγ-
κλήτου βουλῆς τὴν διάγνωσιν πεποιημένοι τοῦ πράγ- 20
ματος φυγῇ τὸν Φαυστῖνον ἐζημίωσαν, βασιλέως ἐγ-
30 κειμένου σφίσι. βασιλεὺς δὲ πρὸς αὐτοῦ χρήματα ὅσα
ἐβούλετο κεκομισμένος ἀνάδικα εὐθὺς τὰ δεδικασμένα
31 ἐποίησε. Φαυστῖνος δὲ αὖθις τὸ πρότερον ἀξίωμα
ἔχων, βασιλεῖ τε ὡμίλει ἐπίτροπός τε καταστὰς τῶν ἐν 25

---

1 πάσῃ *PS*] τῇ πάσῃ *G* ‖ 2 τὸ *P*] τῷ *GS* ‖ 7 ἔμελλεν *GP* ‖ 8 φαυστῆνος *G* | Παλαιστῖνος Maltr.] παλαιστηνὸς *GS*, παλαιστινὸς *P* ‖ 11 τε *PS*] om. *G* ‖ 15 παλαιστήνῃ *G* ‖ 17 ποιεῖσθαι *PS*] ποιεῖν *G* ‖ 19 ὁτουοῦν *P*] ὁτοοῦν *G*, ὁτιοῦν *S* | ἐκ *S*] om. *GP* ‖ 24 αὖθις in contextu omissum est in *P*, additum est in marg. ‖ 25—171, 1 ἐν Παλαιστίνῃ τε καὶ Φοινίκῃ Alem.] ἐκ παλαιστίνης τε καὶ φοινίκης codd.

Παλαιστίνῃ τε καὶ Φοινίκῃ βασιλικῶν χωρίων ἀδεέ-
στερον ἅπαντα κατειργάζετο ὅσα οἱ αὐτῷ βουλομένῳ
εἴη. ὅντινα μὲν οὖν Ἰουστινιανὸς τρόπον τὰ Χριστια- 32
νῶν δικαιώματα περιστέλλειν ἠξίου, καίπερ οὐ πολλῶν
5 *εἰρημένων ἡμῖν, ἀλλ' ἐκ τῶνδε βραχέων ὄντων τεκ-*
μηριοῦν ἔστιν. ὅπως δὲ καὶ τοὺς νόμους οὐδεμιᾷ ὀκ- 33
νήσει κατέσειε χρημάτων κειμένων βραχυτάτῳ δηλω-
θήσεται λόγῳ.

κη'. Πρίσκος τις ἐν τῇ Ἐμεσηνῶν ἐγένετο πόλει,
10 *ὅσπερ ἀλλότρια γράμματα μιμεῖσθαι εὐφυῶς ἐξηπίστατο,*
τεχνίτης τε ἦν περὶ τὸ κακὸν τοῦτο δεξιὸς ἄγαν.
ἐτύγχανε δὲ ἡ τῶν Ἐμεσηνῶν ἐκκλησία τῶν τινος 2 B 154
ἐπιφανῶν κληρονόμος γεγενημένη χρόνοις τισὶ πολλοῖς
ἔμπροσθεν. ἦν δὲ οὗτος ἀνὴρ πατρίκιος μὲν τὸ 3
15 *ἀξίωμα, Μαμμιανὸς δὲ ὄνομα, γένει λαμπρὸς καὶ πε-*
ριουσίᾳ χρημάτων. ἐπὶ δὲ Ἰουστινιανοῦ βασιλεύοντος 4
ὁ Πρίσκος διερευνησάμενος πόλεως τῆς εἰρημένης τὰς
οἰκίας πάσας, εἴ τινας εὗρέ τε πλούτῳ ἀκμάζοντας καὶ·
πρὸς ζημίαν χρημάτων μεγάλων διαρκῶς ἔχοντας, τού-
20 *των διερευνησάμενος ἐς τὸ ἀκριβὲς τοὺς προπάτορας,*
γράμμασιν αὐτῶν παλαιοῖς ἐντυχών, βιβλίδια πολλὰ P 81
ὡς παρ' ἐκείνων γεγραμμένα πεποίηται, ὁμολογούντων

10—173, 6 *ὅσπερ—ἀποκεκλεῖσθαι*] cit. Suid. s. v. *Πρίσκος*

3—4 *τὰ χριστιανῶν τρόπον* (β, α supra) *S* ‖ 6—176, 8 *ὅπως—λάθρα* om. *S* ‖ 7 *κειμένων*] *προκειμένων* Reiske, sed cf. 172, 13 ‖ 10 *γράμματα*] *πράγματα* *P* | *εὐφυῶς*] *ὑπερφυῶς* Suid. ‖ 14 *ἦν δὲ* Suid.] *ἤδη* codd. | *μὲν* Suid.] *εἶεν* codd. ‖ 15 *Μαμιανὸς* Suid. | *τὸ ὄνομα* Suid. ‖ 16 *ἐπὶ δὲ* Suid.] *ἐπεὶ οὖν* codd. | *βασιλεύοντος* om. Suid. ‖ 17 *διερευνησάμενος* codd.] *διαριθμησάμενος* Suid. ‖ 18 *οἰκίας* codd.] *οὐσίας* Suid. | *τινας* Suid.] *τι* codd. ‖ 18—19 *ἀκμαζούσας—ἐχούσας* *G* pr. m. ‖ 18 *περιακμάζοντας* Suid. ‖ 19 *μεγάλην* Suid. ‖ 20 *εἰς* Suid.

πολλὰ χρήματα τῷ Μαμμιανῷ ἀποδώσειν ἅτε παρακαταθήκης λόγῳ ταῦτα πρὸς ἐκείνου κεκομισμένων.
☐ 5 τό τε ὡμολογημένον ἐν τούτοις δὴ τοῖς καταπλάστοις γραμματείοις χρυσίον ξυνῄει οὐχ ἧσσον ἢ ἐς ἑκατὸν
6 κεντηνάρια. καὶ ἀνδρὸς δέ τινος, ὅσπερ ἐπὶ τῆς ἀγο- 5 ρᾶς τηνικάδε τοῦ χρόνου καθήμενος, ἡνίκα ὁ Μαμμιανὸς περιῆν, δόξαν τε πολλὴν ἐπὶ τῇ ἀληθείᾳ καὶ τῇ ἄλλῃ ἀρετῇ ἔχων, ἅπαντα ἐπετέλει τὰ τῶν πολιτῶν γραμματεῖα, ἕκαστον οἰκείοις ἐπισφραγίζων αὐτὸς γράμμασιν, ὅνπερ ταβελλίωνα καλοῦσι Ῥωμαῖοι, τὰ γράμ- 10 ματα δαιμονίως μιμησάμενος τοῖς διοικουμένοις τὰ πράγματα τῆς Ἐμεσηνῶν ἐκκλησίας παρέδωκεν, ὡμολογηκόσι μοῖραν αὐτῷ τινα κεῖσθαι τῶν ἐνθένδε πορι-
7 σθησομένων χρημάτων. ἐπεὶ δὲ ὁ νόμος ἐμποδὼν ἵστατο, τὰς μὲν ἄλλας δίκας ἁπάσας ἐς τριακοντοῦτιν 15
☐ παραγραφὴν ἄγων, ὀλίγας δὲ ἄττας [καὶ] τὰς ὑποθηκαρίας καλουμένας τεσσαράκοντα ἐνιαυτῶν μήκει ἐκ-
8 B 155 κρούων, μηχανῶνται τοιάδε. ἐς Βυζάντιον ἀφικόμενοι

8—10 ἅπαντα—γράμμασιν] ὁ τὰ τῆς πόλεως γράφων συμβόλαια, ὁ παρὰ τοῖς πολλοῖς Νομικὸς λεγόμενος, ἅπαντα ἐπιτελῶν τὰ κτλ. Suid. s. v. ταβελλίων ‖ 15 Nov. 9 cum enim antiqua iura triginta annorum metis temporales exceptiones circumcludebant et, si hypotheca fuerat, paulo longiora eis spatia condonabant, nos . . . centum tantummodo annorum lapsu temporalem exceptionem eis opponi sancimus . . . Nov. 111

---

1 Μαμιανῷ Suid. ‖ 1—2 παραθήκης Suid. ‖ 2 πρὸς] παρ' Suid. | κεκομισμένοι Suid. ‖ 3 ὡμολογημένον Suid.] ὡμολογημένων codd. ‖ 4 γραμματίοις G | χρυσίον om. Suid. | ξυνῄει Dind.] ξυνίει G P, Suid. ‖ 6 τοῦ om. Suid. ‖ 6—7 Μαμιανὸς Suid. ‖ 7 ἐπὶ τῇ] ἐπὶ P, ἐπί τε Suid. ‖ 7—8 τῇ ἄλλῃ om. Suid. ‖ 9 ἕκαστον] ἕκαστον αὐτῶν Suid. s. v. Πρίσκος et s. v. ταβελλίων. | αὐτὸς om. Suid. s. v. ταβελλίων. ‖ 12 τῆς] τῆς τῶν Suid. ‖ 12—13 ὡμολογηκόσι Suid.] ὡμολογηκότων codd. ‖ 16 παραγραφὴν Suid.] παράγραφον codd. ‖ 17 καλουμένας] πάσας Suid. ‖ 18 μηχανῶνται τοιάδε om. Suid.

καὶ χρήματα μεγάλα τῷ βασιλεῖ τούτῳ προέμενοι ἐδέοντο σφίσι τὸν τῶν πολιτῶν ὄλεθρον οὐδὲν ὠφληκότων ξυγκατεργάζεσθαι. ὁ δὲ τὰ χρήματα κεκομισμένος 9 *μελλήσει οὐδεμιᾷ νόμον ἔγραψεν, οὐ χρόνοις τὰς ἐκ-*
5 *κλησίας τοῖς καθήκουσιν, ἀλλ' ἐνιαυτῶν ἑκατὸν πλήθει δικῶν τῶν αὐταῖς προσηκουσῶν ἀποκεκλεῖσθαι, καὶ ταῦτα οὐκ ἐν Ἐμέσῃ μόνον κύρια εἶναι, ἀλλὰ καὶ* □ *ἀνὰ πᾶσαν τὴν Ῥωμαίων ἀρχήν. Ἐμεσηνοῖς τε τὸ* 10 *πρᾶγμα τοῦτο διαιτᾶν ἔταξε Λογγῖνόν τινα δραστήριόν*
10 *τε ἄνδρα καὶ τὸ σῶμα ἰσχυρὸν ἄγαν, ὃς καὶ τὴν τοῦ δήμου ἀρχὴν ἐν Βυζαντίῳ ὕστερον ἔσχεν. οἱ δὲ τῆς* 11 *ἐκκλησίας τὰ πράγματα διοικούμενοι τὰ μὲν πρῶτα τῶν τινι [τῶν] πολιτῶν δίκην κεντηναρίοιν ἐκ βιβλίων* □ *τῶν εἰρημένων λαχόντες δυοῖν, κατεδικάσαντο τοῦ ἀν-*
15 *θρώπου εὐθύς, ὅ τι καὶ ἀπολογήσαιτο οὐδαμῇ ἔχοντος διά τε χρόνου τοσόνδε μῆκος καὶ ἄγνοιαν τῶν τότε πεπραγμένων. ἐν πένθει δὲ μεγάλῳ ἐκάθηντο οἵ τε* 12 *ἄλλοι ξύμπαντες ἄνθρωποι ὁμῶς τοῖς συκοφάνταις ἐκκείμενοι καὶ πάντων μάλιστα οἱ τῶν Ἐμεσηνῶν λογι-*
20 *μώτατοι. τοῦ δὲ κακοῦ ἐς τοὺς πλείστους ἤδη τῶν* 13 *πολιτῶν ἐπιρρέοντος προμήθειάν τινα τοῦ θεοῦ ξυνη-*

---

5 Haec lex (Nov. 9 Ut ecclesia Romana centum annorum habeat praescriptionem) data est a. 535, Nov. 111 „invocat (anno 541) constitutionem, quae praescriptionem centum annorum locis venerabilibus dederat“ ‖ 9 Mal. 482, 1

---

1 *μεγάλα* om. Suid. | *τούτῳ*] *Ἰουστινιανῷ* Suid. ‖ 1—4 *ἐδέοντο—ἔγραψεν*] *μελλήσει οὐδεμιᾷ ἔπεισαν γράψαι νόμον* Suid. ‖ 2—3 *ὠφληκότων* scripsi] *ὠφεληκότων* codd., *ὠφειληκότων* Herw. ‖ 4 *μελήσει* *G P* ‖ 4—5 *ἐκκλησίας*] *ἐκκλήτους* Suid. ‖ 6 *δικῶν* Suid.] *δοκῶν* codd. ‖ 7 *Ἐμέσῃ* Alem., *P*] *ἐνμέσε* *G* | *κύρια* *P*] *κύριοι* *G* ‖ 13 [*τῶν*] inclusit Reiske ‖ 14—15 *τοὺς ἀνθρώπους—ἀπολογήσαιντο—ἔχοντας* codd., correxi ipse ‖ 18 *ὁμῶς* *P*] *ὠμῶς* *G* ‖ 19—20 *λογιμώτατοι* scripsi] *λογιώτατοι* codd.

14 νέχθη γενέσθαι τοιάνδε. Πρίσκον ὁ Λογγῖνος τὸν τοῦτο δὴ τὸ σκαιώρημα ἐργασάμενον ἅπαντα ὁμοῦ κομίζειν οἱ τὰ γράμματα ἐκέλευσεν, ἀναδυόμενόν τε
15 τὴν πρᾶξιν ἐρράπισε δυνάμει τῇ πάσῃ. ὁ δὲ ἀνδρὸς ἰσχυροῦ λίαν τὴν πληγὴν οὐδαμῇ ἐνεγκὼν ἔπεσεν ὕπ- 5 τιος, τρέμων δὲ ἤδη καὶ περιδεὴς γεγονώς, ὅλως τε □ Λογγῖνον ᾐσθῆσθαι τὰ πεπραγμένα ⟨ὑπονοῶν⟩ ὡμολόγει, οὕτω τε τῆς σκαιωρίας ἁπάσης ἐς φῶς ἐνεχθείB 156 σης τὴν συκοφαντίαν πεπαῦσθαι ξυνέβη.

16 Ταῦτα δὲ οὐ μόνον ἐς τοὺς νόμους ἀεὶ καὶ καθ' 10 ἑκάστην εἰργάζετο τοὺς Ῥωμαίων, ἀλλὰ καὶ οὓς Ἑβραῖοι τιμῶσι καταλύειν ὅδε βασιλεὺς ἐν σπουδῇ εἶχεν.
17 P 82 ἢν γάρ ποτε αὐτοῖς ἐπανιὼν ὁ χρόνος τὴν Πασχαλίαν ἑορτὴν πρὸ τῶν Χριστιανῶν ἀγαγὼν τύχοι, οὐκ εἴα ταύτην τοὺς Ἰουδαίους καιροῖς τοῖς καθήκουσιν ἄγειν, 15 οὐδέ τι ἐν ταύτῃ ἐξοσιοῦσθαι τῷ θεῷ ἢ ἐπιτελεῖν τῶν
18 ἐν σφίσιν αὐτοῖς νομίμων. πολλούς τε αὐτῶν οἱ ἐπὶ τῶν ἀρχῶν τεταγμένοι ἅτε προβατείων κρεῶν ἐν τούτῳ γευσαμένους τῷ χρόνῳ, τῆς ἐς τὴν πολιτείαν παρανο-
19 μίας ὑπάγοντες χρήμασιν ἐζημίουν πολλοῖς. ἔργα μὲν 20 οὖν καὶ ἄλλα τοιαῦτα Ἰουστινιανοῦ ἀνάριθμα ἐξεπιστάμενος οὐκ ἄν τι ἐνθείην, ἐπεὶ πέρας δοτέον τῷ λόγῳ. ἀποχρήσει γὰρ καὶ δι' αὐτῶν τὸ τοῦ ἀνθρώπου ἦθος σημῆναι.

κθ'. Ὅτι δὲ εἴρων τε καὶ κατάπλαστος ἦν, αὐ- 25 τίκα δηλώσω. τὸν Λιβέριον τοῦτον, οὗπερ ἐμνήσθην ἀρ-

26 cf. 168, 16—17

1 Πρίσκον] προῖσκον G ‖ 6 ὅλως G corr.] ὅλης G pr. m., ὅλος P ‖ 7 ⟨ὑπονοῶν⟩ addidit Reiske ‖ 7—8 ὡμολόγει Alem.] ὁμολογῶν codd., ἐξωμολόγει Reiske ‖ 13 πασχάλιον P ‖ 19—20 παρανομίας P, Alem.] παρανόμως G ‖ 21 Ἰουστινιανοῦ Alem.] ἰουστινιανῷ codd.

τίως, παραλύσας ἧς εἶχεν ἀρχῆς, Ἰωάννην ἀντ' αὐτοῦ κατεστήσατο Αἰγύπτιον γένος, ἐπίκλησιν Λαξαρίωνα. ὅπερ ἐπεὶ Πελάγιος ἔγνω Λιβερίῳ φίλος ἐς τὰ μάλιστα ὤν, τοῦ αὐτοκράτορος ἀνεπυνθάνετο εἴπερ ὁ 5 ἀμφὶ Λαξαρίωνα λόγος ἀληθὴς εἴη. καὶ ὃς εὐθὺς ἀπηρνήσατο μηδὲν πεπραγέναι τοιοῦτο ἀπισχυρισάμενος, γράμματά τε αὐτῷ πρὸς Λιβέριον ἐνεχείρισεν, ἐντελλόμενος βεβαιότατα τῆς ἀρχῆς ἔχεσθαι, καὶ μηδενὶ αὐτῆς τρόπῳ μεθίεσθαι. οὐ γὰρ ταύτης ἐθέλειν ἐν τῷ 10 παρόντι αὐτὸν παραλῦσαι. ἦν δέ τις τῷ Ἰωάννῃ ἐν Βυζαντίῳ θεῖος, Εὐδαίμων ὄνομα, ἔς τε τὸ τῶν ὑπάτων ἀξίωμα ἥκων καὶ χρήματα περιβεβλημένος πολλὰ ἐπίτροπος τέως τῆς βασιλέως οὐσίας ἰδίας. οὗτος Εὐδαίμων ἐπειδὴ ταῦτα ἠκηκόει ἅπερ ἐρρήθη, καὶ αὐτὸς 15 βασιλέως ἀνεπυνθάνετο εἰ ἐν βεβαίῳ τῷ ἀδελφιδῷ τὰ τῆς ἀρχῆς εἴη. ὁ δὲ ὅσα οἱ πρὸς Λιβέριον ἐγέγραπτο ἀρνησάμενος, πρὸς τὸν Ἰωάννην γράμματα γράψας ἀντιλαβέσθαι τῆς ἀρχῆς δυνάμει πάσῃ ἐπέστελλεν. οὐδὲ γὰρ οὐδ' αὐτῷ νεώτερον ἀμφ' αὐτῇ βεβουλεῦσθαι. 20 οἷσπερ ὁ Ἰωάννης ἀναπεισθεὶς Λιβέριον ἀναχωρεῖν τοῦ τῆς ἀρχῆς καταγωγίου ἅτε αὐτῆς παραλελυμένον ἐκέλευε. Λιβέριος δὲ αὐτῷ πείθεσθαι οὐδαμῇ ἔφασκεν, ἡγμένος δηλονότι τοῖς βασιλέως καὶ αὐτὸς γράμμασιν. ὁ μὲν οὖν Ἰωάννης τούς οἱ ἑπομένους ὁπλίσας ἐπὶ 25 τὸν Λιβέριον ᾔει, ὁ δὲ ξὺν τοῖς ἀμφ' αὐτὸν εἰς ἀντίστασιν εἶδε. μάχης τε γενομένης, ἄλλοι τε πολλοὶ

2 3 4 5 B 157 6 7 8 9

4 αὐτοκράτωρος *G* ‖ 8 τῆς om. *P* | καὶ *P*, Alem.] ἢ *G* ‖ 12 πολλὰ *G*] μεγάλα *P* ‖ 13 ἰδίας οὐσίας *P* ‖ 14 ταῦτ' *G* ‖ 15 ἀδελφιδῷ Reiske] ἀδελφῷ codd. ‖ 16 λιβέριον *P*] βελισάριον *G* ‖ 18 πάσῃ *P*] τῇ πάσῃ *G* ‖ 19 οὐδ' Dind.] οὔτ' *G*, ὅ, τ' *P* ‖ 22 ἐκέλευεν *G* ‖ 25 αὐτὸν *P*] αὐτὸν *G* ‖ 25—26 ἀντίστασιν *P*, Dind.] ἀνθίστασιν *G*

10 πίπτουσι καὶ Ἰωάννης αὐτὸς ὁ τὴν ἀρχὴν ἔχων. Εὐ-
δαίμονος οὖν ἰσχυρότατα ἐγκειμένου, μετάπεμπτος εὐθὺς
ἐς Βυζάντιον ὁ Λιβέριος ἦν, ἥ τε σύγκλητος βουλὴ
τὴν διάγνωσιν ποιουμένη τῶν πεπραγμένων, ἀπεψηφί-
σατο τοῦ ἀνθρώπου, ἐπεὶ αὐτοῦ οὐκ ⟨ἐπ⟩ελθόντος, ἀλλ' 5
11 ἀμυνομένου τὸ μίασμα ξυνηνέχθη γενέσθαι. βασιλεὺς
P 83 μέντοι οὐ πρότερον ἀπέστη ἕως αὐτὸν ἐζημίωσε χρή-
μασι λάθρα.

12 Οὕτω μὲν οὖν Ἰουστινιανος ἀληθίζεσθαί τε ἠπί-
στατο καὶ εὐθύγλωσσος ἦν. ἐγὼ δὲ πάρεργόν τι τοῦδε 10
τοῦ λόγου εἰπεῖν οὐκ ἄπο τοῦ καιροῦ οἴομαι εἶναι.
ὁ μὲν γὰρ Εὐδαίμων οὗτος ἐτελεύτησεν οὐ πολλῷ ὕστε-
ρον, ξυγγενῶν μέν· οἱ ἀπολελειμμένων πολλῶν, οὔτε
διαθήκην τινὰ διαθέμενος οὔτε τι ἄλλο τὸ παράπαν
□ 13 εἰπών. ὑπὸ χρόνον τε τὸν αὐτὸν καί τις ἄρχων γεγο- 15
νὼς τῶν ἐν Παλατίῳ εὐνούχων ὄνομα Εὐφρατᾶς ἀπε-
λύθη τοῦ βίου, ἀδελφιδοῦν μὲν ἀπολιπών, οὐδὲν δὲ
ἐπὶ τῇ οὐσίᾳ διαθέμενος τῇ αὑτοῦ πολλῇ ἐς ἄγαν
14 B 158 οὔσῃ. ἄμφω δὲ βασιλεὺς τὰς οὐσίας ἀφείλετο, κληρο-
νόμος γεγενημένος αὐτόματος καὶ οὐδὲ τριώβολόν τινι 20
15 τῶν νομίμων κληρονόμων προέμενος. τοσαύτῃ αἰδοῖ
ἔς τε τοὺς νόμους καὶ τῶν ἐπιτηδείων τοὺς ξυγγενεῖς
16 ὁ βασιλεὺς οὗτος ἐχρῆτο. οὕτως καὶ τὰ Εἰρηναίου

3—6 ἥ τε—γενέσθαι] ἡ δὲ βουλὴ τὴν—μίασμα γέγονε Suid. s. v. ἀπεψηφίσατο ‖ 16 cf. II 499, 21

---

3 ἦν] malim ᾔει ‖ 5 ⟨ἐπ⟩ελθόντος Kraš. affert ex Suida] ἐλθόντος codd., cf. Kraš. p. XLIX ‖ 7—8 χρήμασι Herw.] χρήματα codd. ‖ 9 οὕτω *G P*] οὕτως *S* (hinc rursus incipit *S*) | μὲν οὖν ἰουστινιανὸς *G*] οὖν om. *P*, ἰουστινιανὸς οὐ μόνον *S* ‖ 10 ἦν] εἶναι Alem. ‖ 11 ἄπο codd.] ἀπὸ Alem. ‖ 13 μέν οἱ *G P*] μέντοι *S* | οὔτε *G P*] οὔτε δὲ *S* ‖ 18 αὑτοῦ Dind.] αὐτοῦ codd. ‖ 23 ἐχρῆτο *P S*] ἐχρᾶτο *G* | οὕτως Alem.] οὗτος codd.

πολλῷ ἔμπροσθεν τελευτήσαντος δικαίωμα οὐδ' ὁτιοῦν ἐπ' αὐτοῖς εχων ἀφείλετο.

Τούτων δὲ τὸ ἐχόμενον ὑπὸ χρόνον τε τὸν αὐτὸν 17 γεγονὸς οὐκ ἂν σιωπῴην. Ἀνατόλιός τις ἦν ἐν Ἀσκα-
5 λωνιτῶν τῷ λευκώματι τὰ πρωτεῖα ἔχων. τούτου τὴν παῖδα γαμετὴν γυναῖκα τῶν τις Καισαρέων πεποίηται, Μαμιλιανὸς ὄνομα, οἰκίας ἐπιφανοῦς ἄγαν. ἦν δὲ ἡ 18 κόρη ἐπίκληρος, ἐπεὶ μόνης αὐτῆς Ἀνατόλιος ἐγεγόνει πατήρ. νόμῳ δὲ ἄνωθεν διωρισμένον, ἐπειδὰν βου- 19
10 λευτὴς τῶν τινος πόλεων οὐκ ἀπολελειμμένων οἱ παίδων γόνου ἄρρενος ἐξ ἀνθρώπων ἀφανισθείη, τῶν ἀπολελειμμένων ὑπὸ τούτου χρημάτων τὸ μὲν τεταρτημόριον δίδοσθαι τῷ τῆς πόλεως βουλευτηρίῳ, πάντων δὲ τῶν ἄλλων τοὺς κληρονόμους τοῦ τετελευτη-
15 κότος ἀπόνασθαι, γνώρισμα ἤθους τοῦ οἰκείου κἀνταῦθα ὁ αὐτοκράτωρ ἐνδεικνύμενος, νόμον ἔναγχος ἐτύγχανε γράψας, ἔμπαλιν τὰ τοῦ πράγματος διοικούμενον ὅπως δή, ἐπειδὰν βουλευτὴς ἄπαις τελευτῴη γόνου ἄρρενος τῆς οὐσίας οἱ μὲν κληρονόμοι τὸ τέταρτον ἔχοιεν,
20 τἄλλα δὲ πάντα τό τε δημόσιον καὶ τὸ τῆς πόλεως λεύκωμα φέροιντο. καίτοι οὐδεπώποτε δημόσιον ἢ 20 βασιλεὺς ἀφ' οὗ γεγόνασιν ἄνθρωποι χρημάτων βουλευτικῶν μετασχεῖν ἔσχε. τούτου τοίνυν κειμένου τοῦ 21 νόμου, Ἀνατολίῳ μὲν ἐπεγένετο ἡ τέλειος ἡμέρα τοῦ
25 βίου, ἡ δὲ τούτου παῖς τὸν τούτου κλῆρον πρός τε τὸ δημόσιον καὶ τὸ τῆς πόλεως βουλευτήριον κατὰ

19 cf. Nov. 38 cap. I

1 δικαίωμα Alem.] δικαιώματα codd. ‖ 3 ἐχόμεν^{o} G | τε om. P ‖ 5 τῶ PS] om. G ‖ 6 καισσαρέων G ‖ 13 ἀποδίδοσθαι P ‖ 15 κἀνταῦθα τοῦ οἰκείου S ‖ 17 τὰ om. P | διοικούμενα S ‖ 18 τελευτῴη Kraš.] τελευτῶν codd.

τὸν νόμον ἐνείματο, καὶ αὐτῇ γράμματα βασιλεύς τε
αὐτὸς καὶ Ἀσκαλωνιτῶν οἱ τοῦ λευκώματος ἔγραψαν,
B 159 τῆς περὶ τούτων αὐτὴν ἀφιέντες ἀντιλογίας ἅτε τὰ
σφίσι προσήκοντα κεκομισμένοι ὀρθῶς καὶ δικαίως.
22 ὕστερον καὶ Μαμιλιανὸς ἀπελύθη τοῦ βίου, ὅσπερ 5
Ἀνατολίῳ κηδεστὴς ἐγεγόνει, παιδός οἱ ἀπολελειμμένης
μιᾶς, ἥπερ καὶ μόνη τὴν τοῦ πατρὸς οὐσίαν, ὡς τὸ
23 εἰκός, ἔσχε. μετὰ δὲ καὶ αὕτη περιούσης ἔτι οἱ τῆς
μητρὸς ἀφίκετο ἐς τὸ μέτρον τοῦ βίου, ἀνδρὶ μὲν
ξυνοικισθεῖσα τῶν λογίμων τινί, μήτηρ δὲ οὔτε θή- 10
24 λεος οὔτε ἄρσενος γενομένη γόνου. ἀλλ' Ἰουστινια-
νὸς πάντων ἀντελάβετο τῶν χρημάτων εὐθύς, ἐκεῖνο
ἀποφθεγξάμενος τὸ θαυμάσιον, ὡς τὴν Ἀνατολίου
παῖδα γυναῖκα γραῦν οὖσαν τοῖς τε τοῦ ἀνδρὸς καὶ
τοῖς τοῦ πατρὸς πλουτεῖν χρήμασιν οὐχ ὅσιον εἴη. 15
25 P 84 ὅπως δὲ ἡ γυνὴ μὴ ἐν τοῖς προσαιτηταῖς τὸ ἐνθένδε
τετάξεται, στατῆρα χρυσοῦν ἐς ἡμέραν ἑκάστην τὴν
γυναῖκα φέρεσθαι ταύτην διώρισεν, ἕως ἂν περιῇ,
τοῦτο θέμενος ἐν τοῖς γράμμασι, δι' ὧν τὰ χρήματα
ἐληΐσατο ταῦτα, ὡς τὸν στατῆρα προεῖται τῆς εὐσε- 20
βείας ἕνεκα τοῦτον· „ἔθος γάρ μοι“, ἔφη, „τά τε ὅσια
„καὶ εὐσεβῆ πράττειν“.

26 Ἀλλὰ περὶ μὲν τούτων ἀπόχρη λέγειν, ὅπως μὴ ὁ
□ λόγος κατακόρως ἔχοι, ἐπεὶ οὐδὲ ἁπάντων ἀνθρώπῳ
□ 27 γε ὄντι δυνατὸν ἀπομνημονεῦσαι. ὅτι δὲ οὐ Βενέτων 25
τῶν οἱ ἐσπουδασμένων δοκούντων εἶναι λόγον τινὰ

3 αὐτὴν Alem.] αὐτοὺς codd. ‖ 4 κεκομισμένοι Alem.] κεκο-
μισμένω codd. ‖ 5 ἐς ὕστερον *PS* ‖ 6 ἀνατολίου *P* ‖ 7 μόνη *S*]
om. *G P* ‖ 11 ἄρρενος *S* ‖ 12 ἀντελάβετο Herw.] ἀνελάβετο codd. ‖
14—15 τοῦ ἀνδρὸς—πατρὸς *PS*] τοῦ πατρὸς καὶ τοῖς τοῦ ἀν-
δρὸς *G* ‖ 21 ἔφη *PS*] om. *G* ‖ 23 μὲν *PS*] om. *G* | ὅπως μὴ
G P] ὅπερ μοι *S* ‖ 24 οὐδὲ] conicio οὐδενὶ ‖ 26 εἶναι δοκούντων *S*

πεποίηται χρημάτων παρόντων, ἐγὼ δηλώσω. Μαλ- 28
θάνης τις ἐγεγόνει ἐν Κίλιξι Λέοντος ἐκείνου γαμβρὸς,
ὅσπερ εἶπεν, ὥσπερ μοι ἔμπροσθεν εἴρηται, τὴν τοῦ
καλουμένου ῥεφερενδαρίου τιμήν. τοῦτον βίας ἀνα- 29
5 στέλλειν ἐπέστελλε τὰς ἐν Κίλιξι. ταύτης τε τῆς σκή-
ψεως ὁ Μαλθάνης λαβόμενος ἀνήκεστα κακὰ Κιλίκων
τοὺς πλείστους εἰργάζετο, καὶ τὰ χρήματα ληϊζόμενος
τὰ μὲν τῷ τυράννῳ ἔπεμπε, τοῖς δὲ αὐτὸς ἐδικαίου
πλουτεῖν. οἱ μὲν οὖν ἄλλοι τὰ σφίσι παρόντα σιωπῇ 30
10 ἔφερον, Ταρσέων δὲ ὅσοι Βένετοι ἦσαν τῇ ἐκ βασι- B 160 □
λέως παρρησίᾳ θαρσοῦντες ἐν τῷ δημοσίῳ τῆς ἀγορᾶς
ἐς τὸν Μαλθάνην οὐ παρόντα σφίσι πολλὰ ὕβριζον.
ὅπερ ἐπεὶ ὁ Μαλθάνης ἔγνω, πλῆθος στρατιωτῶν 31
ἐπαγόμενος ἐς Ταρσὸν εὐθὺς ἀφίκετο νύκτωρ περι-
15 πέμπων τε τοὺς στρατιώτας ἐς τὰς οἰκίας ὄρθρου
βαθέος καταλύειν ἐκέλευεν. ἔφοδον δὲ οἰόμενοι ταύτην 32
οἱ Βένετοι εἶναι, ἐκ τῶν παρόντων ἠμύνοντο. ξυνέβη
τοίνυν ἄλλα τε κακὰ ἐν σκότῳ γενέσθαι καὶ Δαμιανὸν,
ἄνδρα ἐκ βουλῆς, τοξεύματι βληθέντα πεσεῖν. ἦν δὲ 33
20 ὁ Δαμιανὸς οὗτος τῶν τῇδε Βενέτων προστάτης. ὅπερ
ἐπεὶ ἐς Βυζάντιον ἦλθεν, οἵ τε Βένετοι δυσφορού-
μενοι θορύβῳ ἀνὰ τὴν πόλιν πολλῷ εἴχοντο, καὶ βασι-

---

3 cf. III 109, 17. 92, 22

---

1 παρόντων χρημάτων *S* ‖ 1—2 Μαλθάνης] Alemannus adnotat: „In inscriptione novellae 142 est Μαρθάνῃ, in epistula Iustiniani, et actis synodi Mopsuestenae, Marthanii ‖ 3 ἔμπροσθεν *S*] om. *P G*, post εἴρηται spatium unius verbi vacuum est in *P* ‖ 4 ῥεφερενδαρίου Kraš.] ῥαιφερενδαρίου codd. | τοῦτον codd.] τούτῳ Kraš. ‖ 8 αὐτὸς *G P*] αὐτὸν *S* ‖ 10—11 βασιλέως *P S* | βασιλίδος *G* ‖ 15 ὄρθρου] ὄρθου *G* ‖ 17 ἐκ om. *P* ‖ 19 ἐκ βουλῆς] ἐν βουλῇ *P* ‖ 21 εἰς *S* ‖ 22—180, 1 βασιλεῖ *P*

λέα μὲν ἀμφὶ τῷ πράγματι ἠνώχλουν ἄγαν, Λέοντα
δὲ καὶ τὸν Μαλθάνην ξὺν δεινοτάταις ἀπειλαῖς πολλὰ
34 ἐδυσφήμουν. καὶ αὐτοκράτωρ οὐδέν τι ἧσσον ἀγρι-
αίνεσθαι ἐπὶ τοῖς πεπραγμένοις ἐσκήπτετο. γράμμα
οὖν εὐθὺς ἔγραψε, ζήτησίν τε καὶ τίσιν τῶν τῷ Μαλ- 5
35 θάνῃ πεπολιτευμένων κελεύων γενέσθαι. ἀλλὰ Λέων
αὐτῷ χρυσίου προέμενος πλῆθος τοῦ τε θυμοῦ αὐτίκα
καὶ τῆς ἐς τοὺς Βενέτους στοργῆς ἔπαυσε, τοῦ τε
πράγματος ἀνεξετάστου μενενηκότος Μαλθάνην βασι-
λεὺς ἐς Βυζάντιον παρ' αὐτὸν ἥκοντα ξύν τε πολλῇ 10
36 φιλοφροσύνῃ εἶδε καὶ ἐν τιμῇ ἔσχεν. ἐξιόντα δὲ οἱ
Βένετοι ἐκ βασιλέως τηρήσαντες πληγὰς αὐτῷ προσε-
τρίψαντο ἐν Παλατίῳ καὶ διαχρήσασθαι ἔμελλον, εἰ
μὴ αὐτῶν τινες διεκώλυσαν, οἵ γε πρὸς Λέοντος χρή-
37 ματα ἤδη κεκομισμένοι λάθρα ἐτύγχανον. καίτοι τίς 15
οὐκ ἂν ταύτην τὴν πολιτείαν ἐλεεινοτάτην καλοίη, ἐν
ᾗ βασιλεὺς μὲν δωροδοκήσας ἀνεξέταστα κατέλειψε τὰ
B 161 ἐγκλήματα, στασιῶται δὲ βασιλέως ἐν Παλατίῳ ὄντος
ἐπαναστῆναι τῶν τινι ἀρχόντων οὐδεμιᾷ ὀκνήσει ἐτόλ-
38 P 85 μησαν, ἀδίκων τε χειρῶν ἐπ' αὐτὸν ἄρξαι; τίσις μέντοι 20
τούτων δὴ ἕνεκα οὐδεμία οὔτε εἰς τὸν Μαλθάνην
ἐγένετο οὔτε εἰς τοὺς αὐτῷ ἐπαναστάντας. ἐκ τούτων
□ □ δὲ εἴ τις βούλοιτο τὸ Ἰουστινιανοῦ τοῦ βασιλέως
τεκμηριούσθω ἦθος.

λ'. Εἰ δέ τινα καὶ τοῦ τῆς πολιτείας ξυμφόρου 25

2 ξὺν *PS*] om. *G* ‖ 5 οὖν *PS*] μὲν οὖν *G* | ἔγραφε *S* ‖ 7 θυμοῦ scripsi] μώμου codd., διωγμοῦ Reiske, cf. Hy 2 p. 42 ‖ 8 εἰς *G* ‖ 12 πληγὰς Alem., *P*] πληγὴν *S*, πλη^γ *G* ‖ 13 καὶ *PS*] om. *G* ‖ 14 αὐτῶν *PS*] τῶν *G* ‖ 17 ᾗ Alem.] οἷς codd. ‖ 21—22 οὔτε—οὔτε Dind.] οὔτε—οὐδὲ *G P*, οὐδὲ—οὐδὲ *S* ‖ 23 εἴ Reiske] ὅτι *G P*, ὁ, τι *S*, ὅπῃ Kraš. ‖ 24 τεκμηριούσθω Alem.] τεκμηριοῦσθαι codd.

ποιεῖται λόγον, τὰ ἐς δρόμον τε αὐτῷ τὸν δημόσιον καὶ τοὺς κατασκόπους εἰργασμένα δηλώσει. οἱ μὲν 2 γὰρ Ῥωμαίων αὐτοκράτορες ἐν τοῖς ἄνω χρόνοις γεγενημένοι, προνοήσαντες ὅπως ἅπαντά τε σφίσιν ἐπαγ-
5 γέλλοιτο τάχιστα καὶ μηδεμιᾷ διδῷτο μελλήσει, τά τε πρὸς τῶν πολεμίων ἐν χώρᾳ ἑκάστῃ ξυμπίπτοντα καὶ ταῖς πόλεσι κατὰ στάσιν ἢ ἄλλο τι ἀπρόοπτον συμβαίνοντα πάθος τά τε πρὸς τῶν ἀρχόντων καὶ τῶν ἄλλων ἁπάντων πανταχόθι πρασσόμενα τῆς Ῥωμαίων
10 ἀρχῆς, ὅπως τε οἱ τοὺς φόρους παραπέμποντες τοὺς ἐπετείους διασώζοιντο βραδυτῆτός τε καὶ κινδύνου χωρίς, δημόσιον ὀξύν τινα πανταχόσε πεποίηνται δρόμον τρόπῳ τοιῷδε. ἐς ἡμέρας ὁδὸν εὐζώνῳ ἀνδρὶ 3 σταθμοὺς κατεστήσαντο, πῄ μὲν ὀκτώ, πῄ δὲ τούτων
15 ἐλάσσους, οὐ μέντοι ἧσσον ἐκ τοῦ ἐπὶ πλεῖστον ἢ κατὰ πέντε. ἵπποι δὲ ἵσταντο ἐς τεσσαράκοντα ἐν 4 σταθμῷ ἑκάστῳ. ἱπποκόμοι δὲ κατὰ λόγον τοῦ τῶν ἵππων μέτρου ἐτετάχατο ἐν πᾶσι σταθμοῖς. συχναῖς 5 δὲ ἵππων δοκιμωτάτων ὄντων διαδοχαῖς ἐλαύνοντες
20 ἀεὶ οἷσπερ ἐπίκειται τὸ ἔργον τοῦτο, δέκα τε, ἂν οὕτω τύχοι, ὁδὸν ἡμερῶν ἀμείβοντες ἐν ἡμέρᾳ μιᾷ ἔπρασσον ἅπαντα ὅσα μοι ἀρτίως δεδήλωται· πρὸς δὲ καὶ οἱ B 162 τῶν χωρίων πανταχῆ κύριοι, ἄλλως τε κἂν ἐν μεσο-

11 Ioannes Lydus 254, 16

1 ποιεῖται usque ad finem hist. arc. desunt in *G* nonnullis foliis intercisis; quare hinc afferam lectiones cod. *g* | ποιεῖται] ἐποιεῖτο Alem. ‖ 3 χρόνοις *PS*] χωρίοις *g* ‖ 4—5 ἐπαγγέλλοιτο Dind.] ἀπαγγέλλοιντο *g P*, ἀπαγγέλοιντο *S* ‖ 5 διδῷτο *PS*] διδότω *g* | μελήσει *S* ‖ 7—8 ξυμβαίνοντα *S* ‖ 9 πρασσόμενα πανταχόθι *P* ‖ 11 τε *g P*] om. *S* ‖ 14 σταθμοὺς *g P*] σταθμούς τε *S* | πῄ—πῄ Dind.] πῇ—πῇ *PS*, πῇ—ποῖ *g*

γείοις τὰ χωρία ὄντα ἐτύγχανεν, εὐδαιμονέστατοι ἐπ'
6 αὐτοῖς ἐν τοῖς μάλιστα ἦσαν. τοὺς γὰρ ὄντας ἐκ τοῦ
περιόντος σφίσι καρποὺς ἵππων τε καὶ ἱπποκόμων
τροφῆς ἕνεκα τῷ δημοσίῳ ἀνὰ πᾶν ἔτος ἀποδιδόμενοι,
7 χρήματα μεγάλα ἐφέροντο. ξυνέβαινέ τε διὰ ταῦτα 5
τῷ δημοσίῳ δέχεσθαι μὲν ἀεὶ τοὺς ἐγκειμένους ἑκάστῳ
φόρους, ἀντιπαραδέχεσθαι δὲ αὐτοὺς τοῖς ἐσκομίζουσιν
αὐτίκα δὴ μάλα, καὶ προσῆν τὸ γεγενῆσθαι τῇ πολι-
τείᾳ τὰ δέοντα.

8 Τὰ μὲν οὖν πρότερα ταύτῃ πῃ εἶχεν. ὁ δὲ αὐτο- 10
κράτωρ οὗτος πρῶτα μὲν τὸν ἐκ Καλχηδόνος ἄχρι ἐς
Δακίβιζαν καθελὼν δρόμον ἠνάγκασε πάντας ἐκ Βυ-
ζαντίου εὐθὺς ἄχρι ἐς τὴν Ἑλενούπολιν οὔτι ἐθελου-
9 σίους ναυτίλλεσθαι. πλέοντες οὖν ἐν ἀκάτοις βραχείαις
τισίν, οἷαις διαπορθμεύεσθαι τῇδε εἰώθασι, χειμῶνος, 15
ἂν οὕτω τύχοι, ἐπιπεσόντος, ἐπὶ μέγα κινδύνου χω-
ροῦσι. τῆς γὰρ ἀναγκαίου σπουδῆς ἐγκειμένης σφίσι
P 86 καιροφυλακεῖν τε καὶ προσδέχεσθαι μέλλουσαν τὴν
10 γαλήνην ἀδύνατά ἐστιν. ἔπειτα δὲ κατὰ μὲν τὴν ἐπὶ
Πέρσας ὁδὸν φέρουσαν τὸν δρόμον ἐπὶ σχήματος τοῦ 20
πρόσθεν ὄντος εἴασεν εἶναι, ἐς δὲ τὴν λοιπὴν ξύμ-
πασαν ἕω μέχρι ἐς Αἴγυπτον ἐν ἡμέρας ὁδῷ
σταθμὸν ἕνα κατεστήσατο μόνον, οὐχ ἵππων μέντοι,
11 ἀλλ' ὄνων ὀλίγων. διὸ δὴ τὰ μὲν ξυμβαίνοντα ἐν
χώρᾳ ἑκάστῃ μόλις τε καὶ ὀψὲ τοῦ καιροῦ καὶ ὀπίσω 25

---

1 ὄντα codd.] ταῦτα Alem. | ἐτύγχανεν ὄντα *P* | εὐδαιμονέστατοι Alem.] εὐδαιμονέστατα codd. ‖ 1—2 ἐπ' αὐτοῖς Alem.] ἐπ' αὐτοὺς codd., ἀπ' αὐτοῦ in notis censoriis coniecit Alem. ‖ 7 ἀντιπαραδέχεσθαι *g S*] ἀντιπαρέχεσθαι *P* et Reiske ‖ 13 ἄχρις *S* | τὴν om. *S* ‖ 15 οἷαι codd.] οἷαις Alem. ‖ 21 ὄντος] οὗτος *g* | εἴασαν *S* ‖ 22 μέχρις *S* ‖ 24 μὲν *P S*] om. *g* | ἐν] ἢ *P* ‖ 25 ἑκάστῃ μόλις Alem.] μόλις ἑκάστη codd.

τῶν πραγμάτων ἐσαγγελλόμενα ἐπικουρίας οὐδεμιᾶς
τυγχάνειν εἰκὸς, οἱ δὲ τοὺς ἀγροὺς κεκτημένοι καρπῶν B 163
τῶν σφετέρων σεσηπότων τε καὶ εἰκῇ κειμένων ἀνόνη-
τοι ἐς ἀεὶ γίνονται.

5 Τὰ δὲ τῶν κατασκόπων τοιαῦτά ἐστιν. ἄνδρες 12
πολλοὶ ἐν δημοσίῳ τὸ ἀνέκαθεν ἐσιτίζοντο, οἳ δὴ ἐς
τοὺς πολεμίους ἰόντες ἔν τε τοῖς Περσῶν βασιλείοις
γινόμενοι ἢ ἐμπορίας ὀνόματι ἢ τρόπῳ ἑτέρῳ, ἔς τε
τὸ ἀκριβὲς διερευνώμενοι ἕκαστα, ἐπανήκοντες ἐς Ῥω-
10 μαίων τὴν γῆν πάντα τοῖς ἄρχουσιν ἐπαγγέλλειν ἠδύ-
ναντο τὰ τῶν πολεμίων ἀπόρρητα. οἱ δὲ προὔμαθον 13
ἐφύλασσόν τε καὶ ἀπρόοπτον οὐδὲν ξυνέπιπτε σφίσι.
τοῦτο δὲ τὸ χρῆμα κἀν τοῖς Μήδοις ἐκ παλαιοῦ ἦν.
Χοσρόης μὲν οὖν μείζους, ὥσπερ φασὶ, πεποιημένος
15 τὰς τῶν κατασκόπων ξυντάξεις προμηθείας τῆς ἐνθένδε
ἀπήλαυσεν. οὐδὲν γὰρ αὐτὸν ⟨ἐλάνθανε τῶν ἐν Ῥω- 14
μαίοις γινομένων. ὁ δὲ Ἰουστινιανὸς οὐδ' ὁτιοῦν
ἀναλώσας καὶ αὐτὸ τὸ⟩ τῶν κατασκόπων ὄνομα ἐξ-
έτριψεν ἐκ Ῥωμαίων τῆς γῆς, ἐξ οὗ δὴ ἄλλα τε πολλὰ
20 ἡμαρτήθη καὶ Λαζικὴ πρὸς τῶν πολεμίων ἑάλω, Ῥω-
μαίων οὐδαμῆ πεπυσμένων ὅποι ποτὲ γῆς ὁ Περσῶν
βασιλεὺς ξὺν τῷ στρατῷ εἴη. ἀλλὰ καὶ καμήλους 15
παμπληθεῖς τὸ δημόσιον ἐκ παλαιοῦ τρέφειν εἰώθει,
αἳ δὴ τῷ Ῥωμαίων στρατῷ ἐπὶ πολεμίους ἰόντι ἅπαντα
25 φέρουσαι τὰ ἐπιτήδεια εἵποντο. καὶ οὔτε τοῖς γεωρ- 16

---

1 ἐσαγγελόμενα *S* ‖ 8 ἢ 1 *S*] om. *g P* | τε om. *S* ‖ 11 προμαθόντες *P* ‖ 13 ἐκ παλαιοῦ *g P*] τὸ παλαιὸν *S* ‖ 15 τὰς *S*] τὰς πρὸς *g P* | συντάξεις *g* ‖ 16 ἀπέλαυσεν *g* ‖ 16—18 ⟨ἐλάνθανε— αὐτὸ τὸ⟩ addidi] ⟨τῶν ἔν γε Ῥωμαίων τῇ ἀρχῇ τότε γινομένων ἢ καὶ βεβουλευμένων λέληθεν. ὁ δὲ δὴ Ἰουστινιανὸς βασιλεὺς καὶ αὐτὸ τὸ⟩ Kraš. ‖ 21 οὐδαμοῦ *g* ‖ 23 παμπληθεῖς *g P*] παλαιοὺς *S* | τρέφειν *g P*] ἐκτρέφειν *S*

γοῖς τότε ἀγγαροφορεῖν ἐπάναγκες ἦν οὔτε τι ἐνδεῖν
τοῖς στρατιώταις τῶν ἀναγκαίων ξυνέβαινεν, ἀλλὰ καὶ
ταύτας περιεῖλεν Ἰουστινιανὸς σχεδόν τι ἁπάσας. διὸ
δὴ ἐπὶ τοὺς πολεμίους ἰόντος τὰ νῦν τοῦ Ῥωμαίων
στρατοῦ γεγενῆσθαί τι τῶν δεόντων ἀδύνατον. 5
□ 17 Τὰ μὲν οὖν σπουδαιότατα τῇ πολιτείᾳ ἐ[πε]φέρετο
□B 164 τῇδε. οὐδὲν δὲ χεῖρον καί τινος αὐτοῦ τῶν γελοίων
18 ἐπιμνησθῆναι. τῶν ἐν Καισαρείᾳ ῥητόρων Εὐάγγελός
τις ἦν οὐκ ἄσημος ἀνήρ, ὅσπερ ἐπιφόρου οἵ τοῦ τῆς
τύχης πνεύματος γενομένου χρημάτων τε ἄλλων καὶ 10
19 χώρας πολλῆς κύριος γέγονεν. ὕστερον δὲ καὶ κώμην
ἐπιθαλασσίαν τινά, Πορφυρεῶνα ὄνομα, τριῶν χρυσίου
κεντηναρίων ἐπρίατο. ταῦτα μαθὼν Ἰουστινιανὸς βα-
□ σιλεὺς ἀφείλετο [αὐτῷ] τὸ χωρίον εὐθὺς ὀλίγην αὐτῷ
τινα τοῦ τιμήματος προέμενος μοῖραν, καὶ τοῦτο ἀπο- 15
φθεγξάμενος, ὡς Εὐαγγέλῳ ῥήτορι ὄντι οὐ μήποτε εὐπρε-
20 πὲς εἴη κώμης τοιαύτης κυρίῳ εἶναι. ἀλλὰ περὶ μὲν τού-
των, ἀμηγέπη αὐτῶν ἐπιμνησθέντες, παυσόμεθα λέγειν.
21 Τῶν δὲ πρός τε Ἰουστινιανοῦ καὶ Θεοδώρας ἐπὶ
τῇ πολιτείᾳ νεοχμωθέντων καὶ ταῦτά ἐστι. πάλαι μὲν 20
ἡ σύγκλητος βουλὴ παρὰ βασιλέα ἰοῦσα τρόπῳ τοιῷδε
P 87 προσκυνεῖν εἴθιστο. πατρίκιος μέν τις ἀνὴρ παρὰ
22 μαζὸν αὐτοῦ προσεκύνει τὸν δεξιόν. βασιλεὺς δὲ αὐ-

---

1 ἀγγαροφορεῖν PS] ἀγροφορεῖν g ‖ 2 τῶν PS] om. g
6 τῇ πολιτεία g P] τῆς πολιτείας S | ἐφέρετο Reiske] ἐπεφέρετο codd. ‖ 7 χεῖρον Reiske] οἷον codd., cf. de aed. lib. III 7, 19: lib. IV 4, 3 ‖ 8 εὐάγγελός PS] εὐαγγέλιός g ‖ 9 οἱ S] om. g P
12 ἐπιθαλασσίτιν P | τινὰ S] om. g P | Πορφυρεῶνα Alem.] πορφυρίωνα codd. | χρυσίου Kraš.] χρυσίων codd. ‖ 14 αὐτῷ inclusi ὀλίγην αὐτῷ] αὐτῷ om. g ‖ 16 εὐαγγελίω g ‖ 16—17 εὐπρεπὴς g
19—20 ἐπὶ τῇ πολιτεία PS] om. g ‖ 20 νεοχμωθέντων Dind.] νεοχμηθέντων codd. ‖ 21 ξύγκλητος S | βασιλέα Herw.] βασιλεῖ codd. | εἰσιοῦσα Herw. ‖ 22 εἴθιστο S] ἠβούλοντο g, εἴθισται P

τοῦ καταφιλήσας τῆς κεφαλῆς ἐξίει, οἱ δὲ λοιποὶ
ἅπαντες γόνυ κλίναντες βασιλεῖ τὸ δεξιὸν ἀπηλλάσ-
σοντο. βασιλίδα μέντοι προσκυνεῖν οὐδαμῆ εἴθιστο. 23
παρὰ δὲ Ἰουστινιανόν τε καὶ Θεοδώραν τὰς εἰσόδους
5 ποιούμενοι οἵ τε ἄλλοι ἅπαντες καὶ ὅσοι τὸ πατρικίων
ἀξίωμα εἶχον ἔπιπτον μὲν εἰς τὸ ἔδαφος εὐθὺς ἐπὶ
στόμα, χειρῶν δὲ καὶ ποδῶν ἐς ἄγαν σφίσι τετανυσμέ-
νων τῷ χείλει ποδὸς ἑκατέρου ἁψάμενοι ἐξανίσταντο.
οὐδὲ γὰρ ἡ Θεοδώρα τὴν ἀξίωσιν ἀνεδύετο ταύτην, ἥ 24
10 γε καὶ τοὺς πρέσβεις προσίεσθαι Περσῶν τε καὶ τῶν
ἄλλων βαρβάρων, χρήμασί τε αὐτοὺς δωρεῖσθαι, ὥσπερ
ὑπ' αὐτῇ κειμένης τῆς Ῥωμαίων ἀρχῆς, οὐδαμῆ ἀπηξίου, B 165
πρᾶγμα πώποτε οὐ γεγονὸς ἐκ τοῦ παντὸς χρόνου.
καὶ πάλαι μὲν οἱ τῷ βασιλεῖ ξυγγενόμενοι αὐτόν τε 25
15 βασιλέα καὶ τὴν γυναῖκα βασιλίδα ἐκάλουν, ἀρχόντων
τε τῶν λοιπῶν ἕκαστον ὅπη αὐτῷ ἀξιώματος πέρι τὰ
παρόντα ἔχοι. ἢν δέ τις τούτοιν ὁποτέρῳ ἐς λόγους 26
ξυμμίξας βασιλέως ἢ βασιλίδος ἐπιμνησθείη, ἀλλ' οὐ
δεσπότην τε ἀποκαλοίη καὶ δέσποιναν, ἢ καὶ μὴ δού-
20 λους τῶν τινας ἀρχόντων ὀνομάζειν πειρῷτο, τοσοῦτος
δὴ ἀμαθής τε καὶ τὴν γλῶτταν ἀκόλαστος ἐδόκει εἶναι,
καὶ ἅτε ἡμαρτηκὼς τὰ πικρότατα καὶ ὑβρίσας ἐς οὓς
ἥκιστα ἐχρῆν ἐνθένδε ἀπῄει.

Καὶ τὰ πρότερα μὲν ὀλίγοι τε καὶ μόλις ἐν βασι- 27

---

1 τὴν κεφαλὴν g P | ἐξήει g ‖ 2 ἅπαντες ἐς S ‖ 7 δὲ S] om. g P | σφίσι P S] om. g ‖ 10 προσίεσθαι Piccolos] προΐεσθαι codd. ‖ 13 πώποτε οὐ P S] οὐ πώποτε g ‖ 16 ὅπη g P] ὅποι S ‖ 16—17 τὰ παρόντα S] τάδε g P ‖ 17 τούτοιν P, S corr.] τούτων S pr. m., τούτων οἱ g ‖ 18 βασιλέα S ‖ 20 πειρῷτο ὀνομάζειν g | τοσοῦτος P S] τοσοῦτο g, οὗτος conic. Alem. ‖ 21 δὴ conic. Alem.] δὲ P S, τὲ g | τε P S] om. g | γλῶσσαν g ‖ 24—186, 1 ἐν βασιλείοις P, Alem.] ἐν βασιλεῖ g, ἐς βασι^λ S

λείοις ἐγίνοντο, ἐξ ὅτου δὲ οὗτοι τὴν βασιλείαν παρέ-
λαβον, ἄρχοντες ὁμοῦ καὶ ⟨οἱ⟩ λοιποὶ ξύμπαντες ἐν
28 Παλατίῳ ἐνδελεχέστατα διατριβὴν εἶχον. αἴτιον δὲ
ὅτι πάλαι μὲν ταῖς ἀρχαῖς τά τε δίκαια καὶ νόμιμα
29 πράσσειν γνώμῃ αὐτονόμῳ ἐξῆν. οἵ τε οὖν ἄρχοντες 5
διοικούμενοι τὰ εἰωθότα ἐν τοῖς καταγωγίοις τοῖς
αὐτῶν ἔμενον, οἵ τε ἀρχόμενοι βίαιον οὐδὲν οὔτε
δρῶντες οὔτε ἀκούοντες βασιλέα, ὡς τὸ εἰκὸς, ὀλίγα
30 ἠνώχλουν. οὗτοι δὲ ἅπαντα ἐπὶ πονηρῷ τῶν κατη-
κόων ἐφ' ἑαυτοὺς ἐς ἀεὶ ἕλκοντες ἅπαντας σφίσι δου- 10
λοπρεπέστατα προσεδρεύειν ἠνάγκαζον· ἦν δὲ ἰδεῖν
εἰς ἡμέραν σχεδόν τι ἑκάστην τὰ μὲν δικαστήρια πάντα
ἐκ τοῦ ἐπὶ πλεῖστον ἀνδρῶν ἔρημα, ἐν δὲ τῇ βασιλέως
αὐλῇ ὄχλον τε καὶ ὕβριν καὶ ὠθισμὸν μέγαν καὶ δου-
31 λοπρέπειαν ἐς ἀεὶ ξύμπασαν. οἵ τε αὐτοῖν ἐπιτήδειοι 15
δοκοῦντες εἶναι τήν τε ἡμέραν διηνεκῶς πᾶσαν καὶ
τῆς νυκτὸς ἐς ἀεὶ πολλήν τινα μοῖραν ἐνταῦθα ἑστῶτες
ἄυπνοί τε καὶ ἀπόσιτοι παρὰ καιροὺς τοὺς εἰωθότας
B 166 γινόμενοι διεφθείροντο, ἐς τοῦτό τε αὐτοῖς τὴν δο-
32 κοῦσαν εὐδαιμονίαν ἀποκεκρίσθαι ξυνέπεσε. τούτων 20
μέντοι ἀφειμένοι πάντων διεμάχοντο πρὸς ἀλλήλους
33 οἱ ἄνθρωποι, ὅπῃ ποτὲ Ῥωμαίων τὰ χρήματα εἴη. οἱ
P 88 μὲν γὰρ ἰσχυρίζοντο ἐν βαρβάροις ἅπαντα εἶναι, οἱ δὲ
βασιλέα ἔφασκον ἐν οἰκίσκοις πολλοῖς καθείρξαντα ἔχειν.
34 ὁπηνίκα οὖν ἢ ἄνθρωπος ὢν ὁ Ἰουστινιανὸς ἀπέλθῃ 25
τοῦ βίου, ἢ ἅτε τῶν δαιμόνων ἄρχων ἀπολύσῃ τὸν
βίον, ὅσοι τηνικάδε περιόντες τύχωσι, τἀληθὲς εἴσονται.

2 ⟨οἱ⟩ addidi ‖ 7 αὐτῶν scripsi] αὐτῶν codd. ‖ 8 βασιλέα P] βασιλεῖ g, βασι^λ S ‖ 9 οὗτοι] οὗτος S ‖ 10 ἅπαντας PS] ἅπαντα g ‖ 11 δὲ g P] τε S ‖ 13 βασιλέως S] τοῦ βασιλέως g, βασιλείω P ‖ 16 εἶναι PS] om. g ‖ 22 οἱ 1 PS] om. g | ὅπῃ PS] ὅποι g ‖ 26 ἀπολύσῃ P] ἀπολύσει g S.

ADDENDA ET CORRIGENDA

Buech	= F. Buecheler, Procopiana, Rheinisches Museum 63/1908, 152–155
Comp	= D. Comparetti, Le Inedite. Libro nono delle storie di Procopio di Cesarea. Edizione postuma licenziata da Domenico Bassi, Roma 1928
Haury app	= J. Haury, Appendix (III, XXXI et 394–395), 1913
Heis	= Aug. Heisenberg, Recensio Haury, Berliner Philologische Wochenschrift 29/1909, 962-976
Herw	= H. van Herwerden, Ad Procopium, Mnemosyne (nova series) 35/1907, 324–334
Kall I	= H. Kallenberg, Procopiana I, Rheinisches Museum 71/1916, 246–269
Kall II	= H. Kallenberg, Procopiana II, Rheinisches Museum 71/1916, 507–526
Kall III	= H. Kallenberg, Procopiana III, Rheinisches Museum 74/1925, 155–163
Kall 1	= H. Kallenberg, Bausteine für eine historische Grammatik der griechischen Sprache, Rheinisches Museum 72/1917–1918, 450–518
Kum	= K. Kumaniecki, Zu Prokops Anekdota, Textkritisches, Byz. Zeitschr. 27/1927, 22–28

My = My, Recensio Haury, Revue Critique 65/1908, 163–164

Rühl = F. Rühl, Die Interpolationen in Prokops Anekdota, Rheinisches Museum 69/1914, 284–298

Syk I = J. Sykoutres, Zu Prokops Anekdota, Textkritisches, Byz. Zeitschr. 27/1927, 22–28

Syk II = J. Sykoutres, Recensio Comparetti, Byz. Zeitschr. 33/1933, 363–366

Stef II = Ed. L. de Stefani, Recensio Haury III 1, Byz. Zeitschr. 17/1908, 149–152

Byz. Zeitschr. = Byzantinische Zeitschrift

Secundum Hauryanum verborum usum notarum (nota) nomine significavi locos, quos aliorum ex rerum scriptorum libris collegit ad interpretandas Procopii res, sed adnotationum (adn), ubi varias lectiones conferebat.

4, 1–17 (*ὅσα – δεήσει*) nota: magna ex parte ex II (liber VIII) inculcata esse putat Syk I 22; contra haec Haury, Byz. Zeitschr. 34/1934, 13

4, 1 (*ἐν τοῖς πολέμοις*) adn: *ἐν τ⟨οῖσδε⟩ [τοῖς] πολέμοις* Comp 3, 1 et p. 201

4, 3 (*ἐγεγόνει*) adn: *ἐγεγόνε* Comp 3, 5

4, 5 (*ἐνθένδε*) adn: *τὰ ἐνθένδε* (Alem.) praefert Kall II 515 his documentis usus: I 173, 5; 252, 4; 446, 11; II 118, 18; 568, 18; aed 134, 6. *ἐνθάδε* Comp 3, 7 et p. 201

4, 6–8 (*ἐπεὶ – ἀρχῆς*) adn: *ἐπεὶ πάντα ὁπόσα δὴ ἐνταῦθα γεγράψεται πανταχόθι τῆς Ῥωμαίων ἀρχῆς τετύχηκε γενέσθαι* Comp 3, 8 et p. 201

4, 8 (*ἀρχῆς* + lacuna) adn: *ἀρχῆς. ὅσα δὲ τῶν τότε πράξεων ἀνέκδοτά μοι ἐλείφθη ἐνταῦθα ἐκδύσεται. αἴτιον δὲ κτλ.* vel: *ἀρχῆς, ὅσα τε τῶν τότε καιρῶν ἀνέκδοτα παραλιπεῖν ἠναγκάσθην. αἴτιον δὲ κτλ.* Comp p. 202; contra haec Syk II 364

4, 8–13 (*αἴτιον* – *εἶχον*) adn: transponendum post *ἠναγκάσθην* (vers. 15) censet Rühl 287

4, 15 (*τὰ*[*τό*]*τε*[*δ'*]) adn: *τὰ τ*⟨*ῆδ*⟩*ε* Comp 4, 2

4, 15 (*ἄρρητα*) adn: *ἀπόρρητα* (Alem., Maltr.) praefert Comp p. 202; cf. etiam Prolegg. ad I, XLVI

4, 15 (*μείναντα*) adn: *μείναντα* ⟨*δηλῶσαι*⟩ supplet Comp p. 202

6, 8–9 (*διὰ* – *ἔρχομαι*) nota: cf. I 5, 13, Haury, Byz. Zeitschr. 34/1934, 11–12

6, 8 (*ταῦτα πρῶτα*) adn: *ταῦτα* [*τὰ ἑκάστῳ πραχθέντα ἀποδεῖξαι θαρσήσας*] *πρῶτα* supplet Comp p. 203, lacunam suspicatus

6, 8 (*Βελισαρίῳ*) adn: *Βελισαρίῳ* [*καὶ Ἀντωνίνᾳ*] supplet Comp 6, 2

6, 10 (*μοχθηρὰ*) adn: eicit Kraševinnikov; cf. autem Comp p. 203, Haury, Byz. Zeitschr. 34/1934, 11

7, 4 (*οὐ*) adn: eiciendum putat Comp p. 203

7, 5 (*οὐδέ τι*) adn: *οὐ δ*⟨*ῆτα*⟩ *τὸ* Comp 6, 13 et p. 203

7, 9–10 (*λίαν* – *ἐσεσήρει*) nota: cum Aristophane (Pax 603) comparat Haury app

7, 12 (*Σιλβέριον διαχρησαμένη*) nota: cf. Duchesne, L'Église au VIme siècle I, 1925, 292

7, 12 (*ᾧπερ*) adn: *ὥπερ* (Holstein, Dindorf, Kraševinnikov) praefert Comp 7, 4 et p. 203 (*ὥσπερ* cum a Alem., Maltr.)

7, 15 (*ἀδεέστερον*) adn: *ἀσελγέστερον* (Alem.) praefert Comp p. 204

8, 1 (*Θεοδόσιος*) nota: cf. Euagr. IV 16

8, 1 (*πατέρων*) adn: *πατέρων* ⟨*ἐκ τῶν*⟩ supplet Syk I 24

8, 8 (*ἀμφ'*) adn: *ὑφ'* (codd.) praefert Heis 972 („unter ihrer Obhut"), Syk I 24 („in ihrem Dienst"), Comp 7, 24 („tenendolo seco")

8, 9 (*εὐθὺς*) adn: *εἶθα* Heis 972, *εἶθ' ὕστερον* Comp 7, 15 et p. 204

8, 14 (*πόθῳ*) adn: *πάθει* Heis 972 his documentis usus: 8, 10; 11, 24

10, 3 (*ὅπως – ἐνδείξηται*) adn: *οὔπως ἐν τῷ τότε ἐνδειξαμένη τὸ εἰς αὐτὸν ἔχθος* Heis 972, [*μηχανωμένη*] *ὅπως* ⟨*ἂν κατα*⟩ *δείξηται κτλ.* Comp 9, 11 et p. 204, contra haec autem Haury, Byz. Zeitschr. 35/1935, 289

10, 3–4 (*ἔγκοτον– ἔχθος*) adn: (*ἔγκοτα – ἔχθος* scribi mavult Haury app propter Aischylum Choeph. 381

10, 22 (*περιεβάλλετο*) adn: *περιεβάλετο* Syk I 28

11, 5 (*ὁτῳοῦν* [*αὐτῇ*]) adn: *ὁτῳοῦν* [*ὡς ὁ μὲν παρ'*] *αὐτῇ* Comp 10, 13 et p. 204

11, 22 (*τὸ συνειδέναι καὶ*) adn: *τὸ συνειδέναι καὶ* ⟨*ἄλλους καὶ*⟩ supplet Syk I 24

12, 1 (*κεκρυμμένως*) adn: *ἐγκεκρυμμένως* (S; cf. *ἐγκρυφιάζειν* 11, 24) Heis 971

12, 3 (⟨*ἀπ*⟩ *αξιοῦσαν*) adn: *ἀπαξιοῦσαν* Comp 11, 13

12, 4 (*καὶ*) adn: cf. IX; eicit Heis 971 („*ἀφικόμενος* und *ἀποθριξάμενος* sind keine Parallelen")

12, 8–9 (*ὠλοφύρετο οὐκ – ὠλώλει*) adn: *ὠλοφύρετο* (*οὐκ – ὠλώλει*) Syk I 24 (cf. add an 12, 13), *ὠλοφύρετο,* [*ὡς οὐχ οἱ*] *ἀπολελειμμένου – ὠλώλει* Comp 12, 1 et p. 205

12, 8 (*ἀπολελειμμένου*) adn: *ἀπολελειμμένη* (Reiske) praefert Herw 35, 27

12, 12 (*ἔκλαε*) adn: *ἔκαμε* Comp 12, 4 et p. 206

12, 13 (*Θεοδόσιον*) adn: *Θεοδόσιον* ⟨*ὡς πιστὸν ὡς εὔχαριν ὡς εὐνοικὸν ὡς δραστήριον*⟩ e vers. 10 transponendum censet Kum I 25

12, 14 (*εἰς βασιλέα*) adn: *εἰς βασιλέως* Heis 971

13, 8 (*αὐτή τε* [*γὰρ*]) adn: (*αὐτή τε γὰρ* codd., *αὐτή τε* Kraševinnikov), *αὐτή τε γὰρ* Comp 13, 4 et p. 206

13, 16 ([*ὡς*]) adn: eicit Herw 35, 328, Comp 13, 10 et p. 206

13, 22 (*του τῶν*) adn: *τούτων* Struve, cf. Comp p. 206

14, 3 (*χρῆμα,*) adn: *χρῆμα.* Syk I 28

14, 5 (*αἵματι*) adn: ex *ἅμα τι* fluxisse putat Heis 971

15, 1 (*δεδιέναι δὲ μή*) adn: (*δέδιε, δὲ* Alem.) *δεδιέναι δὲ* [*οἱ ξυνέβη*] *μή* Comp 14, 15 et p. 206

15, 7 (*ἄχρι*) adn: *ἄχρι* ⟨*καὶ*⟩ supplet Syk I 25

15, 13 (*χειρώσασθαι*) adn: aut *χειρώσεσθαι* aut *χειρώσεσθαι* [*δυνήσεται*] scribendum censet Comp 15, 8 et p. 207. tenuerim tamen *χειρώσασθαι*

16, 17 (*τῆς γῆς*) adn: *γῆς τῆς* Kum I 25 his documentis usus: an 19,21; 117, 3

16, 17–18 (*ἤθελεν–τάχιστα*) adn: *ἤθελεν ὅπως τάχιστα, ἐπειδὰν* Comp 16, 11 et p. 207; contra haec Haury, Byz. Zeitschr. 35/1935, 290

16, 23 (*ἡμέρας*) adn: *ὥρας* (codd.) praefert Comp 16, 15 et p. 207

17, 2 (*εὐζώνῳ – διέχει*) adn: *ἀνδρὶ εὐζώνῳ τῶν Ῥωμαικῶν ὁρῶν διέχει* Heis 971

17, 3 (*μέτρον*) adn: *μέτρον* ⟨*πολὺ μεῖον*⟩ Comp 17, 3 et p. 207

17, 4 (*μεταξὺ*) adn: *ἥμισυ* Kraŝeninnikov, cf. Comp p. 207

17, 6 (*μέχρι*) adn: probat Kall III 160; cf. add I 252, 13

18, 19 (*εἴ τι*) adn: *εἴ τι* [*ἔτι*] Comp p. 207; contra haec Haury, Byz. Zeitschr. 35/1935, 290, cf. etiam Ind. Graec. 361

18, 23 (*οὐδὲν*) adn: *οὐδενὶ* Comp 19, 2 et p. 207; contra haec Haury, Byz. Zeitschr. 35/1935, 290, cf. etiam Ind. Graec. 378

19, 1 (*δὲ*) adn: *δὲ* ⟨*καὶ*⟩ supplet Syk I 25

19, 9 (*ἐπὶ*) adn: *ἀμφὶ* (S) Heis 972 his documentis usus: 30, 11; 31, 13; 32, 24; 41, 6

19, 12–13 (*οὐδὲν – καὶ*) adn: *οὐδὲν ἂν ὅ τι καὶ* Comp 19, 13 et p. 208

20, 1 (*δὲ – τάχος*) adn: *δὲ κατ*⟨*ὰ τοὺς ὅρκου*⟩*ς* Comp 20, 8 et p. 208

20, 6 (*ἱερὸν Ἰωάννου*) nota: cf. aed 150, 5

20, 15 (*παραπομποῖς*) adn: *παραπόμποις* (codd.) praefert Heis 972

20, 16 (*ἀφικομένοις*) adn: *ἀφικομένους* (codd.) praefert Heis 973

21, 11 (*αὐτῷ δὴ ἐντετάσθαι*) adn: *αὐτῷ* ⟨*τὸ*⟩ *ἐ*⟨*κ*⟩*τετάσθαι* Comp 22, 9 et p. 208

22, 5 (*ἤδ'*) adn: *ἡ δ*⟨*έσποινα*⟩ Herw 35, 328 (cf. an 185, 19)

22, 6 (⟨*Θεοδόσιον*⟩) adn: ⟨*ἐκ Κιλίκων*⟩ Comp 23, 3 et p. 209

22, 22 (*προτερήσασα*) adn: *πρωτερήσασα* Comp 23, 15

23, 2 (*ναὸν τῆς θεοτόκου*) nota: cf. aed 20, 15; 29, 18

23, 13 (*ἐνεχώρουν*) adn: *ἀνεχώρουν* (G) praefert Heis 971

23, 16 (*ὅρκοις*) adn: transponendum post *τῷδε* (23, 17) censet Herw 35, 328, contra haec Syk I 25. *ὅρ*⟨*θριο*⟩*ς* Comp 24, 15 et p. 209

24, 2 (*περιβαλόμενος*) adn: *περιβαλόμενος* (Piccolos) praefert Herw 35, 32, Syk I 28

24, 12–13 (*εἷλε* ⟨*καὶ*⟩ *μυριάδας*) adn: *εἷλε, μυριάδας* Comp 25, 11 et p. 210

24, 18 (*λοιμός*) nota: cf. Malal. 482, 4, Euagr. IV 29; Theoph. I 222, 21, Marc. Comes ad 543

25, 3 (*ἐπιτρέψωσιν*) adn: Dindorf, Kraševinnikov, *πρὸς αὐτοὺς ἐπιστρέψωσιν* Kall I 268: *πρὸς* enim excidisse, *αὐτοὺς* a librario in *αὐτοὶ* mutatum esse, *ἐπιστρέψωσιν* (Alem., Maltr.) Comp 26, 6 et p. 210

25, 10 (*μεστὴ*) adn: *μεστὴ ὀργῆς* (cf. 84, 21) Herw 35, 328

25, 21 (*ἡμέρα ἢ νύκτωρ*) adn: aut *ἡμέρας ἢ μεθ' ἡμέραν* aut *ἡμέρα ἢ νὺξ* scribendum censet Herw 35, 328

26, 2 (*ποιεῖσθαι – οὐδείς*) adn: *ποιεῖσθαι* [*περὶ*] *ταῦτα τινὰ* [*ἐτόλμα*] *οὐδείς* Comp 27, 6 et p. 211

27, 3 (*οὖσα*) adn: om. Comp 28, 9 et p. 211

27, 10 (*ἀναρπάσασθαι*) adn: *ἀναρτήσασθαι* (Reiske) scribi mavult Comp p. 211

28, 1–2 (*περιπάτους – σκηπτομένη*) nota: cf. de Boor, Byz. Zeitschr. 23/1914, 52

28, 9 (*οὔπω*) adn: *οὖ*⟨*περ*⟩ Comp 30, 1 et p. 212

28, 12 (*τὰ*) adn: om. G, *ἅτε* Syk I 25

28, 13 (*ταῦτα δὴ*) adn: *ταύτ⟨ην⟩ δ⟨εῖν⟩* Comp 30, 4 et p. 212

28, 15 (*ἔνθεν*) adn: *ἐνθέν ⟨δε⟩* Syk I 25, cf. 178, 16

28, 19 (*καὶ*) adn: *κἂν* Syk I 25, cf. 156, 3

28, 19 (*τῷ*) adn: [*ἐν*] *τῷ* Comp 30, 8 et p. 212, contra haec Haury, Byz. Zeitschr. 35/1935, 290

28, 23 (*τῶν ταρσῶν*) adn: *⟨ἐκ θατέρου ἐς θάτερον⟩ τῶν ταρσῶν* supplet Herw 35, 328 (cf. 185, 8)

29, 13 (*ἔτυχε*) adn: *ἔτυχ' ἔχων* Herw 35, 329

30, 3 (*εἴα – τοῖς*) adn: *εἴα, ᾗ περιυβρίσθαι ἐν τοῖς* Buech 153

30, 25 (*πρῶτον μέν γε*) adn: *πρότερον μὲν γὰρ* Syk I 25

31, 16 (*ἀποβῆναι*) adn: *ἐπιβῆναι* (Dindorf) praefert Comp 33, 14 et p. 213; contra haec Haury, Byz. Zeitschr. 35/1935, 290, cf. etiam Ind. Graec. 338 et II 453, 5

31, 17 (*ἔνθα τι*) adn: *ἔνθα ⟨πη⟩* Comp 33, 15

31, 17 (*ἦν*) adn: *εἴη* Comp 33, 16

31, 19 (*δὲ*) adn: *δὲ* [*ὅς*] Comp 34, 1 et p. 213

31, 19 (*λυσσῶν ⟨ἦν⟩*) adn: *λυσσῶν ⟨ἐζήτει μὲν⟩* Syk I 25

31, 22 (*οὔτε*) adn: *οὐδὲ* Syk I 28

32, 12 (*καὶ*) adn: *⟨τε⟩ καὶ* Kall I 256, cf. add II 282, 19

32, 19 (*μέχρις*) adn: *μέχρι* Kall III 160, cf. add an 17, 7

